καὶ ἀντιλήψεως πλουσίως ἄγαν ἐπαπολαύων καὶ διὰ τοῦτο τοὺς ἄλλους κατὰ γένος ὄντας οἰκείους αὐτῷ μακρῷ ὑπερβάλλων τῷ πήχει ἔν τε δυναστείαις καὶ ἀξιώμασι καὶ πᾶσιν ἑτέροις τρόποις εὐδαιμονίας εὐδοκιμώτερος καὶ ὀνομαστότερος παρὰ πολὺ τῶν ἄλλων φαινόμενος. 25

20. Ὁ μὲν οὖν ἔφορος τῆς μονῆς οὗτός ἔσεται πάντως, ὃν ἡμεῖς εἰς τὴν ἐφορείαν καὶ ἐπικουρίαν αὐτῆς δηλονότι προεστησάμεθα· πλὴν ἐκεῖνα μόνα ἔσται πράττων ὑπὲρ αὐτῆς, ἅπερ δὴ καὶ ἡμεῖς, καὶ οὕτω γνησίως ὑπὲρ τῆς μονῆς ὁ ἔφορος οὗτος |31ᵛ| διατεθή-
σεται, ὥσπερ οὖν καὶ ἡμεῖς, μᾶλλον δὲ ὡς τὸ βιβλίον τοῦτο τῆς 30
διατάξεως πατρικῶς καὶ ἐκκλησιαστικῶς εἰσηγεῖται καὶ ὑποτίθησι, πρὸ τῶν ἄλλων πάντων αὐτὸς αὐτὸ διὰ σεβάσματος ἅγων καὶ

---

6. τὸ *in ras* | 12. ὑπερπονεῖ *partim in ras.* | 24. παραπολὺ *cod.*

πρός γε τὴν τούτου σπεύδων πρῶτος ἐκπλήρωσιν, καὶ νῦν μὲν τὰς ἐν τῷ μοναστηρίῳ κατὰ Θεὸν διαζῆν σπουδαζούσας ἐλέους καὶ συμπαθείας, ὡς ἡ χεὶρ εὐπορεῖ τε καὶ δίδωσιν, ἀξιῶν, ἐκ τῶν ἐνόντων αὐταῖς χαριζόμενος καὶ οὕτω διὰ τῶν φευγόντων καὶ
5 φθειρομένων τὰ ἐστῶτα καὶ ἄφθαρτα ἐξωνούμενος, νῦν δὲ αὖ πάλιν τρόπον ἕτερον αὐτῶν προϊστάμενος καὶ τοῦτο μὲν τοὺς ἀδικεῖν αὐτὰς βουλομένους εἰσάπαν ἀποσοβῶν, τοῦτο δὲ καὶ τοὺς ἄλλως ἐκ σατα|52| νικῆς ἐπηρείας καὶ ἐπιθέσεως ἴσως ἐπανισταμένους αὐταῖς προθύμῳ γνώμῃ ἀποκρουόμενος, τοῦθ' ἓν ἀντὶ
10 πάντων πραγματευόμενος ἑαυτῷ, ὥστε προστάτιν ἔχειν καὶ πρέσβιν τὴν Θεοτόκον ἐν πᾶσιν ἀμειβομένην καὶ ἀντιδωρουμένην τὰ μείζω καὶ τελεώτερα τά τε ἄλλα τῶν αἰτημάτων αὐτῷ ἐκπληροῦσαν καὶ τὴν τῆς ψυχῆς σωτηρίαν, πρό γε τῶν ἄλλων πάντων παρέχουσαν ὃ δὴ καὶ κρεῖττόν ἐστι τῶν ἁπάντων ἡμῖν
15 καὶ οὐ τὸ τυχεῖν τῆς ἀνωτάτω καὶ πρώτης ἔργον εὐχῆς οὐκ ἀδόκιμον.

γ'.

Περὶ τῆς ποσότητος τῶν παρθένων καὶ ὁποία τις ὀφείλει εἶναι ἡ ἀφηγησομένη αὐτῶν καὶ πῶς εἰς
20 τὸ ἀφηγεῖσθαι αὐτὴ προβληθήσεται.

21. Λεκτέον δ' ἂν εἴη τοῦ λοιποῦ μετά γε τὰ εἰρημένα περὶ τῆς ποσότητος αὐτῆς τῶν παρθένων καὶ εἰς ὅσον αὗται ποσὸν προχωρήσουσιν |52ᵛ| ἀριθμούμεναι, ὁποία τε ἔσται ἥτις ἄρα τούτων καὶ ἀφηγήσεται καὶ καθ' ὁποῖον ἐκλεγήσεται τρόπον καὶ
25 πῶς ἐπὶ τὸ ὕψος τῆς ἀρχῆς καὶ τῆς προστασίας διὰ τῆς πατριαρχικῆς εὐλογίας καὶ προχειρίσεως ἀναβήσεται.

22. Ἡ μὲν οὖν τῶν ἐνοικεῖν μελλουσῶν τῷ μοναστηρίῳ παρθένων ποσότης οὐκ ἀόριστος ἔσεται οὐδὲ ἄδηλόν τινα ἕξει τὸν ἑαυτῆς ἀριθμόν· οὔτε γὰρ καλῶς ἕξει τὰ κατ' αὐτὰς ἀτάκτως οὕτω πως

---

22. εἴη *scripsi*, ἦ *cod.*

ἔχοντα καὶ ἀκόσμως, ἐπειδὴ τῷ ἀορίστῳ καὶ ταῦτ' ἐκ τοῦ πλείονος ἕπεται καὶ οὐκ ὀλίγον τοῦ εἰκότος καὶ ὀφειλομένου παρὰ τοῦτο ἀποσφαλήσεται, νῦν μὲν εἰς ἄχρηστον ἐκτεινομένων τῆς χρείας εἰς ἀνόνητόν τε καὶ περιττὸν ἀριθμόν, νῦν δὲ αὖθις εἰς ὑστεροῦντα συστελ|33|λομένων καὶ παρὰ πολὺ τοῦ δέοντος ἀποπίπτοντα. 5 Τῷτοι καὶ βεβαίᾳ τινὶ καὶ διωρισμένῃ ποσότητι περιληπτέον ἂν εἴη τὴν ἅπασαν τῶν παρθένων συνάθροισιν, ὡς ἄν γε ἐκ τούτου αὐτό τε τὸ εὔτακτον αὐτό τε τὸ κόσμιον καὶ τρίτον αὐτὸ τὸ μὴ πλημμελῶς περιττεύειν μηδὲ ἐν ταῖς ἀναγκαίαις χρείαις καὶ τοῖς καθήκουσιν ὑστερεῖν κάλλιστά τε καὶ ὠφελιμώτατα ἕποιτο. 10

23. Εἰς δεκάδα τοίνυν τριπλῆν πᾶν τὸ τῶν παρθένων ποσωθήσεται σύνταγμα, καὶ τριάκοντα αἱ πᾶσαι ἔσονται αὗται· καὶ οὔτε ποτὲ τοῦθ' ὑπερταθήσεται τοῦ ἀριθμοῦ τὸ ποσὸν οὔτ' εἰς τὸ ἔλαττον πάλιν ὑποχωρήσει καὶ ὑπαχθήσεται· ἀρκέσει γὰρ οὗτος ταῖς τοῦ κοινοβίου χρείαις ὁ ἀριθμὸς καὶ τὸ πλεῖον ὡς περιττόν, 15 ὡς ἀχρή|33v|σιμον ἀπαιτεῖν παραιτήσεται. Πλὴν αἱ μὲν αὐτῶν ἐν ταῖς ἐκκλησιαστικαῖς συνάξεσι καὶ ὑπηρεσίαις πανευλαβῶς λειτουργήσουσιν, ἑκάστη ὡς ἔχει καὶ γνώσεως καὶ χρόνου καὶ εὐλαβείας καὶ τάξεως, μίαν ἐφ' ἑαυτῶν κεκτημέναι καὶ πρώτην καὶ ἄρχουσαν· ἡ δὲ πρὸς τὸ φρονίμως ὁμοῦ καὶ πιστῶς οἰκο- 20 νομεῖν ταχθήσεται τὰ κοινὰ καὶ τὰς κατ' ἀνάγκην χρείας τούτου τοῦ σώματος, τῇ δὲ τὸ δοχεῖον ἔσται λειτούργημα ἀναγκαῖον, τὰς δὲ ἄλλας εἰς ἄλλην ὑπηρεσίαν τῆς κοινῆς ἕνεκα ὠφελείας σὺν πολλῇ προσοχῇ καὶ βασάνῳ ἡ ἀφηγουμένη τάξει ἐγκαταστήσασα, κοινωνοὺς καὶ ξυμβούλους ἔχουσα καὶ τὰς προεχούσας τῶν 25 ἀδελφῶν καὶ τὰς κρείττους κἀνταῦθα, ἵνα μὴ λέγω καὶ πάσας, ὥσπερ οὖν |34| καὶ οἱ πατέρες ἀνέκαθεν ἡμῖν καὶ τοῦθ' οὕτω παραδεδώκασι γίνεσθαι.

24. Καὶ τοσαῦται μὲν ἔσονται τὸν ἀριθμὸν ἐν τῇ μονῇ αἱ παρθένοι· τήν γε μὴν ἀφηγησομένην τούτων ἱκανὴν εἶναι προσῆκε 30 τὰ σεμνὰ τῆς κατὰ Θεὸν φιλοσοφίας διδάγματα παραδιδόναι ταῖς ἄλλαις κἀν τοῖς κρείττοσιν ἔργοις αὐτὰς ὁδηγεῖν καὶ διὰ τῆς πορείας ἄγειν τῶν ἀρετῶν, πείθουσαν, οὐ βιάζουσαν καὶ βραχέα μὲν λόγῳ

---

33 καὶ βρ. μὲν *in ras.*

περὶ ἀρετῆς, πολλὰ δὲ ταῖς καλαῖς ἐργασίαις διδάσκουσαν, ἔργοις τοὺς λόγους ἁρμόζουσαν θαυμασίως καὶ οὕτως ἁπλανῶς πρὸς τὴν σωτηρίαν ποδηγοῦσαν τὰς ἑφεπομένας καὶ φέρουσαν· ὃ δὴ καὶ τέχνην εἶναι τεχνῶν καὶ ἐπιστημῶν ἐπιστήμην τῶν τις ἁγίων ὡρίσατο
5 μάλιστα, ἄνθρωπον ἄγειν |34ᵛ| καὶ ὁδηγεῖν πρὸς Θεὸν δηλονότι τὸ πολυτροπώτατον τοῦτο ζῷον καὶ ποικιλώτατον.

25. Τοιαύτην εἶναι τὴν προστησομένην τῶν ἄλλων ἀνάγκη· τοιαύτην δῆτα καὶ ὑμεῖς ἐν ὑμῖν αὐταῖς αἱ πᾶσαι καὶ ζητήσετε καὶ ἐκλέξεσθε, δυναμένην ὡς ἔφην καὶ λόγῳ καὶ ἔργῳ τὸν ἑστῶτα
10 λόγον ἐκπαιδεύειν τῆς ἀληθείας τὰς μαθητρίας καὶ τὰ ἱερὰ τῆς εὐλαβείας μαθήματα ζῆλόν τε ἐμβάλλειν τοῦ ὄντως καλοῦ καὶ πρὸς τὸν καλὸν ἔρωτα τούτου τὰς ὑμετέρας ἀνακάειν ψυχὰς καὶ οὕτω τοῦ σπουδαζομένου μηδ' ὁτιοῦν ἀστοχεῖν, ὑπόδειγμα καὶ τύπον αὐτὴν ὑμῖν τἀγαθοῦ προτιθεῖσαν καὶ φθεγγομένην οὕτω καὶ σιωπῶσαν ὑμῖν
15 ἑαυτὴν παρα|35|δεικνῦσαν παραίνεσιν· καὶ γὰρ καὶ τὴν ζήτησιν αὐτὴν τῆς προστησομένης καὶ τὴν ἐκλογὴν δ' ὁμοίως αὐτὴν οὐ παρ' ἄλλων ἢ παρ' ὑμῶν αὐτῶν διαταττόμεθα γίνεσθαι, ταῖς πατρικαῖς ἡμεῖς παραδόσεσι καὶ ἐν τούτῳ καὶ προσέχουσαι καὶ πειθόμεναι.

26. Τὸν τρόπον δὲ τοῦτον ταύτην ποιήσετε· εἰσελεύσεσθε εἰς τὸν
20 ἱερὸν οἶκον τῶν προσευχῶν αἱ πᾶσαι ὁμοῦ· εἶτα πρὸς προσευχὴν τραπεῖσαι ἐγκάρδιον κοινῇ αἱ πᾶσαι, ὥστε ἕξειν καὶ Θεὸν εἰς τὸ προκείμενόν τε καὶ σπουδαζόμενον ἔργον συλλήπτορα, ταῖς μεσιτείαις τῆς Θεοτόκου καὶ ἀντιλήψεσιν, ἐκλέξεσθε μετὰ τὴν ἱκεσίαν τὴν ἐν πᾶσι τῶν λοιπῶν διαφέρουσαν καὶ τὴν ἐκ τοῦ |35ᵛ|καλῶς ὑποταγῆναι
25 καὶ καλῶς ἀναχθῆναι καλῶς εἰδυῖαν καὶ ἄρχειν καὶ ὑποτάττειν τὰς ἄλλας, πολλὰ παρασχομένην ἐν τῷ παρεληλυθότι τοῦ χρόνου τῆς οἰκείας εὐλαβείας καὶ μετριοφροσύνης καὶ τῆς πρὸς τὸ ἄρξαι ἐπιτηδειότητος τὰ τεκμήρια· καὶ οὕτως αὐτὴν σὺν Θεῷ ἐκλεξάμεναι λήψεσθε τοῦ λοιποῦ καὶ πρὸς τὸν κατὰ καιροὺς ἁγιώτατον πατριάρ-
30 χην ἀφίξεσθε· καὶ ἀφίξεται καὶ αὐτὴ μεθ' ὑμῶν· εἶτα παρ' αὐτοῦ δεξαμένης αὐτῆς τὴν τῆς ἀρχῆς καὶ εὐλογίαν καὶ χάριν ναὶ μὴν καὶ τὴν ποιμαντικὴν βακτηρίαν, καθάπερ ἔθος ἐν τοῖς τοιούτοις τὸν πατριάρχην ποιεῖν, ἐπανήξετε ἐπὶ τὴν μονὴν μετὰ πολλῆς εὐθυμίας

4. Gregorii M. Reg. pastor. 1, P. L. 77, 14.

καὶ διαχύσεως |36| καὶ τὰ ἐφειμένα, Θεοῦ συμπράττοντος, πρὸς ἀλλήλας ἔσεσθε πράττουσαι. Καὶ αὐτὴ μὲν κατ' ἐντολὴν διδάξει καὶ εἰσηγήσεται ὅσα καταρτίζειν καὶ πρὸς Θεὸν ἀνάγειν καθιστάνειν τε τὸν Χριστὸν ἐν καρδίᾳ ἔνοικον δύναται, ὑμεῖς δὲ πάλιν κατὰ τοσοῦτον ὑποταγήσεσθε, καθ' ὅσον καὶ τοῖς οἰκείοις ἑαυτῶν δεσπόταις τὰ ὑποζύγια, εἰδ' οὖν τῷ τεχνίτῃ τὰ πρὸς ὑπουργίαν τῆς τέχνης ἄψυχα ὄργανα· οὕτω γὰρ ἂν πάντως καὶ τὸ ὑπήκοον ἀμώμητον ὑμεῖς καὶ ἀπρόσκοπον ἐπιδείξετε καὶ τὸν μισθὸν τῆς ὑπακοῆς παρὰ Θεοῦ ἀποίσεσθε τέλειον.

δ'.

Πρὸς τὴν ἀφηγουμένην ὑπομνηστική τις καὶ συμβουλευτικὴ διαλαλιά.

27. |36ᵛ| Καὶ τοίνυν ἡ τιμιωτάτη σὺ καὶ Θεῷ κεχαρισμένη ἀφηγουμένη, ἡ οὕτω μὲν προκριθεῖσα τῶν ἄλλων, οὕτω δέ γε καὶ προβληθεῖσα ἐνθέσμως, ἐπείπερ εἰς τόδε τὸ μέγα καὶ ὄντως ἐργῶδες ἐτέθης λειτούργημα, ὥστε ψυχαῖς ἐπιστατεῖν δηλαδὴ ἀνθρωπίναις καὶ κόσμου ταύτας ἁρπάζειν καὶ διδόναι καὶ προσοικειοῦν τῷ Θεῷ εἰσοικίζειν τε τὸν Χριστὸν ἐν αὐταῖς διὰ θεωρίας καὶ πράξεως καὶ ἑνὶ μόνῳ τούτῳ ὡς καθαρωτάτῳ νυμφίῳ ἁρμόζειν καὶ νύμφας ἁγνάς τε καὶ ἱερὰς καὶ ἀφθόρους παρθένους παριστάνειν αὐτῷ μετὰ Παύλου τοῦ μεγάλου τῆς ἐκκλησίας νυμφαγωγοῦ· δεῦρο ἐξεγείρου, ἐξεγείρου, δεῦρο ἔνδυσαι |37| τὴν ἰσχὺν τοῦ βραχίονός σου, παρὰ τῆς θείας ταῦτα διδασκομένη γραφῆς· καὶ τῆς τοῦ θήλεος ἐνταῦθα καὶ ἡμετέρας ἀσθενείας ἐπιλαθομένη τῷ πλείονι μέρει ζῶσαι τὴν ὀσφύν σου, εἰ καὶ μὴ ὡς ἀνὴρ ἀλλ' ἀνδρείως· καὶ ἀρρενωπὸν ἀναλαβοῦσα φρόνημα καὶ ἀνδρεῖον, τόνωσον ὁπόσον ἄρα καὶ δύνῃ σαυτήν· καὶ μὴ μόνον οἷς κατ' ἐντολὴν διδάξεις καὶ ὑποθήσεις τὰ δέοντα καὶ σωτήρια εἰσηγοῦ, ἀλλὰ καὶ οἷς ἐνεργήσεις καὶ πράξεις· τῶν ἄλλων κατ' ἀρετὴν προηγοῦ, πίστεις καὶ ἀσφαλείας ἐντεῦθεν ταῖς ἐφεπομέναις διδοῦσα βεβαίας, ὡς οὐμενοῦν ἀδύνατος ἡ τῆς ἀρετῆς καὶ τῶν κρειττόνων ἐστὶ κατόρθωσις, καὶ θαρροῦσα λέγειν ταῖς ὑπὸ σὲ μετὰ παρρησίας·

---

20. 2 Cor. 11, 2. — 21. Isai. 521. — 24. Iob. 38, 3.

15. ἐργῶδες *in ras.* 30. *corr. prius* ἀδύνατον?

ἀπ' ἐμοῦ ὄψεσθε καὶ οὕτω ποιήσετε. Οὐκ ἔ|37ᵛ|στιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, φησὶν ὁ θεῖος ἀπόστολος, ἀλλὰ πρὸς τὰς ἀρχάς, ἀλλὰ πρὸς τὰς ἐξουσίας, ἀλλὰ πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, ἀλλὰ πρὸς τὰ πνευματικὰ τῆς πονηρίας
5 ἐν τοῖς ἐπουρανίοις καὶ διὰ τὰ ἐπουράνια.

28. Σὺ οὖν μοι, μῆτερ πνευματική, μὴ μόνον τὰ περὶ τοῦ πολέμου τούτου τοῦ φοβεροῦ τὰς ὑπὸ σὲ τὸν πάντα χρόνον ἐκδιδάσκειν καὶ ἐκπαιδεύειν δι' ἀγῶνος ποιοῦ καὶ ἀσφαλῶς ἐφοπλίζουσα καὶ περιφράττουσα πανταχόθεν αὐτὰς πρὸς τὴν κατὰ τῶν δαιμόνων ἀγρίαν
10 ἔξαγε μάχην, ἀλλὰ καὶ προμάχεσθαι τούτων, ἀλλὰ προίστασθαι, ἀλλὰ καὶ προασπίζειν μάλιστα σπούδαζε καὶ ἔρ|38|γον τοῦτο τῶν ἀναγκαιοτάτων ποιοῦ, βάλλουσα τούτους τοὺς ἀφανεῖς καὶ χαλεποὺς πολεμίους ὅσα καὶ βέλεσιν ἐν χειρὶ δυνατοῦ πεμπομένοις ταῖς ψαλμῳδίαις, ταῖς προσευχαῖς, ταῖς ἀγρυπνίαις, τῇ ἐγκρατείᾳ, τῇ
15 κατανύξει, τοῖς δάκρυσι, πᾶσι τοῖς ἄλλοις ὅπλοις τοῦ πνεύματος κάντεῦθεν τοὺς μὲν ἐχθροὺς ἀνὰ κράτος ἡττῶσα καὶ τούτους ὁλοσχερῶς ἀνατρέπουσα, τὰς δ' ὑπὸ σὲ ἀνωτέρας τῶν ἀπὸ τῶν τοξευμάτων τραυμάτων ποιοῦσα καὶ τελείως ἐξάντεις ταύτας ποιοῦσα καὶ τῶν κινδύνων οὕτω τελείως ἐξαίρουσα.

20 29. Πολλὴ μὲν οὖν ἡ ἀνατεθεῖσά σοι αὕτη διακονία καὶ μεγάλη τῷ ὄντι ἡ προστασία· πολλῆς σοι διὰ τοῦτο δεῖ καὶ τῆς ἀγωνίας, πολλῆς τῆς |38ᵛ| ἐπιμελείας, πολλῆς σοι συντονίας, πολλοῦ τοῦ καμάτου, πολλῆς τῆς σπουδῆς, πολλῆς σοι τῆς ἀγρυπνίας, πολλῆς σοι τῆς νήψεως, μὴ καὶ λαθὼν ὁ ἐχθρὸς ἐπιπέσοι ἐξαίφνης ὠρυομένου
25 λέοντος τρόπον καὶ τὸ οἰκεῖον εἰς ἔργον ἀγάγῃ καὶ τὸ αἷμα τῆς ἀπολλυμένης ψυχῆς ἀπὸ τῶν τῆς προεστώσης ἐκζητηθείη χειρῶν, μήτε προειπούσης τὸ δικαίωμα τοῦ Θεοῦ καὶ τὸ κρίμα μήτ' εἰσηγησαμένης μετὰ τὴν πτῶσιν τὸν τρόπον τῆς μεταμελείας καὶ διορθώσεως.

30. Καὶ σὺ μὲν πάντως, καθάπερ γραφεὺς εὐφυής τις καὶ ἄριστος
30 πρὸς τοὺς βίους τῶν μακαριωτάτων ἐκείνων καὶ ἁγίων μητέρων ἡμῶν |39| ὡς πρὸς εἰκόνας ἐμψύχους καὶ ἀγάλματα ἔμπρακτα καὶ

---

1. Ephes. 6, 2. — 13. Psalm. 126, 4. — 25. 1 Petr. 5, 8. — 26. Luc. 11, 50.

16. ἀνακράτος *cod.* | 30. υἱοὺς *cod.*

κινούμενα πυκνὰ πυκνὰ ἀποβλέψεις καὶ καθαρώτατα ἐκείνοις ἐνατενίσεις, καὶ οὕτω σὺν ἀκριβείᾳ τὸν σὸν μεταγράψεις βίον ἐκεῖθεν καὶ τρόπον καὶ κοσμήσεις πᾶσι τοῖς τῶν ἀρετῶν ἀμαραντίνοις ἄνθεσί τε καὶ χρώμασι, καὶ οὕτω τὸ ἐκείνων καλὸν καὶ οὕτω τὸ ὡραῖον κάλλος ἐκείνων καὶ σὸν ποιήσεις διὰ τῆς ἀκριβοῦς ἐκμιμήσεως. 5

31. Αἱ ὑπὸ σὲ δὲ πάλιν ὡς πρὸς ἀρχέτυπον κάλλιστον τὸ σὸν εὐκατάστατον καὶ κόσμιον ἦθος καὶ τὴν σὴν σεμνὴν πολιτείαν κατὰ τὸ ὅμοιον ἀποβλέψουσι καὶ ἐνατενίσουσι τρόπον καὶ τὰ ἑαυτῶν μεταμορφώσουσι πρὸς ἀκρίβειαν ἤθη καὶ πρὸς τὸν πρω|39ᵛ|τότυπον χαρακτῆρα τῆς σῆς καλοκἀγαθίας καὶ τῆς σῆς ἀρετῆς τὰς οἰκείας 10 εἰκόνας μιμητικῶς μεταγράψουσι· καὶ οὕτω τὰ πολλὰ καὶ διάφορα ἤθη πρὸς ἄλληλα ἕξει ὁμοίως, καὶ οὕτως ὁ ἀγαθὸς τοῦ βίου χαρακτὴρ ὁμοίως ἐπιλάμψει παντὶ τῷ τῆς ἀδελφότητος σώματι, ὥσπερ ἄν, εἰ καὶ ζωγράφοι πλείονες ἑνός τινος παραδείγματος γράφοιεν χαρακτῆρα, αἱ εἰκόνες παραπλησίως πρὸς ἀλλήλας ἕξουσιν 15 ἅπασαι· ὁποῖον γὰρ ἂν ᾖ τὸ ἐπιστατοῦν τε καὶ ἄρχον, τοιοῦτον ὡς τὰ πολλὰ καὶ τὸ ἀρχόμενον εἴωθε γίνεσθαι καὶ ὡς ὁ κριτής φησι τοῦ λαοῦ, οὕτω καὶ οἱ αὐτοῦ λειτουργοὶ καὶ κατὰ τὸν ἡγούμενον τῆς πόλεως πάντες |40| οἱ κατοικοῦντες αὐτήν.

32. Ἐπίστηθι εὐκαίρως, ἀκαίρως, ὁ ἱερὸς ἀπόστολος εἴρηκεν· 20 ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ. Ἐλέγξεις μὲν οὖν καὶ αὐτὴ κατὰ πάντα καιρὸν καὶ τρόπον ἐφισταμένη τὰς ἐξεταζομένας καὶ ἁλισκομένας ἐν πταίσμασιν, ἀλλὰ μετὰ μακροθυμίας, ἀλλ' ἐν διδασκαλίᾳ, ἀλλ' ἐν σπλάγχνοις Χριστοῦ, ἀλλ' ἐν πραότητος πνεύματι· οὐκ ἐλέγξεις δὲ μόνον, ἀλλά γε καὶ ἐπιτι- 25 μήσεις πρὸς τὸ ξυμφέρον, ἀλλὰ καὶ ἐπιπλήξεις ὡσαύτως, πλὴν ἡμέρως, πλὴν συμπαθῶς, πλὴν ἐν ἀγάπῃ, πλὴν μετὰ παρακλήσεως, πλὴν ἀπαθῶς· τὸ γὰρ ἐμπαθῶς σε τὰ φάρμακα ταῦτα προσάγειν |40ᵛ| ταῖς ἀρρωστούσαις καὶ ὀργῆς καὶ θυμοῦ ἡττωμένην οὐχὶ τῆς ἀρρωστίας ἐλευθερῶσαι ἔστιν ἐκείνας, σεαυτὴν δ' ἑτέρῳ καὶ ἴσως χαλεπω- 30 τέρῳ περιβαλεῖν ἀρρωστήματι· ἐν γὰρ πραότητι παιδεύειν τοὺς ἀντιδιατιθεμένους τῇ διδαχῇ καὶ ταῖς ἐντολαῖς τοῦ Χριστοῦ, ἀλλ'

---

17. Eccli. 10, 1. — 20. 2 Tim. 4, 2. — 31. 2 Tim. 2, 25.

8. τρόπον ... ἑαυτῶν μετα... *in ras.*

οὐκ ἐν ὀργῇ τινι καὶ θυμῷ δεδιδάγμεθα καὶ διδάσκεσθαι τοὺς ἀγνοοῦντας καὶ πλανωμένους, ἀλλ' οὐ κολάζεσθαι παρελάβομεν, ὥσπερ δὴ καὶ τυφλοὺς χειραγωγοῦμεν μᾶλλον, ἀλλ' οὐδαμῶς τιμωρούμεθα· καὶ μέντοι καὶ ἀγανακτήσεις καὶ ὀργισθήσῃ μηδ' ὅλως
5 ἀγανακτοῦσα, μηδ' ὅλως ἔνδον ὀργιζομένη. Οὐ μὴν δὲ ἀλλὰ καὶ παραβλέ|41|ψεις εὐφυῶς ἁμαρτίας καὶ ἀφήσεις καὶ συγχωρήσεις, ὁπόσα ἐφεῖταί σοι ἀφιέναι καὶ συγχωρεῖν· ἐφεῖται δὲ ὅσα καὶ ἀνιέρῳ ἡγουμένῳ ἐφεῖται ἀφιέναι καὶ συγχωρεῖν· ἀφήσεις δὲ μετριοπαθοῦσα καὶ τὰ τῆς ἀνθρωπίνης φύσεως μέτρα εἰδυῖα καὶ παρὰ τοῦτο συγκαμ-
10 πτομένη πρὸς τὰς ἕξεις καὶ ἀσθενείας ἔτι τε διαφορὰς καὶ ποιότητας τῶν προσώπων καὶ οὐ μηδεμία τις βλάβη οὔτε σοὶ τῇ ἀφηγουμένῃ προσπίπτει οὔτε τῇ πταιούσῃ αὐτῇ.

33. Καὶ ζηλώσεις μὲν ὑπὲρ τῆς τοῦ Θεοῦ δόξης, διὰ τῆς τῶν ἐντολῶν αὐτοῦ παραβάσεως ἀτιμαζομένου αὐτοῦ, φιλαδελφίας δὲ
15 εὐσπλαγχνίαν ὑπὲρ τῆς σωτηρίας τῆς οὕτως |41ᵛ| ἀτιμαζούσης Θεὸν ἐπιδείξεις γνησίως· καὶ μέντοι γε καὶ στενάξεις ὁμοῦ καὶ θρηνήσεις, πρὸς δὲ καὶ δάκρυα τῶν σῶν ὀφθαλμῶν ἀπορρεύσεις ὑπὲρ αὐτῆς ἐν τῇ ἁμαρτίᾳ κινδυνευούσης, εἴτουν ἀποθνησκούσης πικρῶς, ὅτι καὶ ψυχὴ ἁμαρτάνουσα αὐτὴ ἀποθανεῖται, φησὶν ἡ γραφή. Καὶ τὰς τῶν ἐμπαθῶν
20 δὲ αὖ διορθώσεις οὐκ ἄλλως πάντως ἢ κατὰ τὸν λόγον προσάξεις τῆς ἰατρικῆς ἐπιστήμονος, οὐκ ὀργιζομένη ταῖς νόσῳ καμνούσαις, τῇ δὲ νόσῳ μόνῃ μαχομένη αὐτὴ καὶ πρὸς τὰς τῶν νοσημάτων αἰτίας καὶ ῥίζας ἱσταμένη ἀπ' ἐναντίας καὶ οὕτω τὰ πάσχοντα μέλη τῆς ἀδελφότητος θεραπεύουσα· |42| τὰ γὰρ ἐναντία καὶ παῖδές φασιν
25 ἰατρῶν τῶν ἐναντίων ἰάματα. Οἷον τυχὸν τὴν κενοδοξίαν διορθώσεται τοῖς ἐπιτάγμασι τῶν τῆς ταπεινοφροσύνης ἐπιτηδευμάτων, τὴν ἀργολογίαν τῇ σιωπῇ, τὸν ἄμετρον ὕπνον διὰ τῆς ἐν ψαλμῳδίαις καὶ προσευχαῖς ἀγρυπνίας, διὰ τῶν κόπων τὴν ἀργίαν τοῦ σώματος, τὴν ἀπρεπῆ βρῶσιν διὰ τῆς ἀσιτίας, τὸν γογγυσμὸν διὰ τοῦ ἐξῶσαι
30 τὴν γογγύσασαν πρὸς ἡμέρας ἀπό τε τῆς ἐκκλησίας καὶ τῆς κοινῆς τραπέζης τῶν εὐχαρίστων, καὶ συνελόντα εἰπεῖν, πᾶσαν ἁμαρτίαν διὰ τῆς ἐναντιουμένης αὐτῇ πολιτείας διορθώσεται ἡ διδάσκαλος.

---

19. Ezech. 18, 4.

5. ἔνδον *in ras.* | 24 ἐναν... *in ras.*

34. |42ᵛ| Πολὺς μὲν οὖν ὁ τῆς ἀρχῆς ὄγκος καὶ ὑψηλὸν τὸ τῆς ἡγεμονίας ἀξίωμα. Ἀλλά σε μηδαμῶς ἐπαιρέτω οὗτος ὁ ὄγκος μηδὲ ὑψούτω σε τὸ ἀξίωμα· τὸ γὰρ οὕτως ἐπαίρεσθαι καὶ οὕτως ὑψοῦσθαι ἐκπίπτειν μὲν καὶ τοῦ τῆς ταπεινοφροσύνης μακαρισμοῦ παρασκευάζει τὴν οὕτως ὑψοῦσαν ἑαυτήν, τὴν οὕτως ἐπαίρουσαν, ἐμπίπτειν δὲ καὶ ἄλλως εἰς κρίμα ταύτην καὶ παγίδα τοῦ διαβόλου διὰ τὸν τύφον ποιεῖ καὶ τὴν ἔπαρσιν· διὰ τοῦτο τῇ μὲν τῆς καρδίας προθέσει καὶ τῷ ἀφανεῖ τῆς ψυχῆς ὑπηρέτιν ἀχρείαν καὶ δούλην ἐσχάτην σεαυτὴν λογιῇ, δοθεῖσαν εἰς αὐτό γε τοῦτο παρὰ Θεοῦ ταῖς θεραπαινίσι καὶ θυγατράσι καὶ νύμφαις αὐτοῦ |43| τοῦ Χριστοῦ, τῷ δ' ἔξωθεν τοῦ σώματος σχήματι καὶ τῇ φαινομένῃ ἐπιφανείᾳ τὸ διάφορον δείξεις τῆς δεσποτείας ἁπάσης, ἣν ἔχεις ἐπὶ τῶν ὅλων· καὶ κυριότητος τὸ σεμνόν τε πάντοτε περὶ σεαυτὴν καὶ τὸ φοβερὸν τηρήσεις καὶ τὸ αἰδέσιμον, ἵνα μήθ' ὑπεροπτικῶς πρὸς τῶν ὑπὸ σὲ περιφρονουμένη σου ἡ ἀρχὴ καταπαίζηται καὶ ἡ ταπεινοφροσύνη καλῶς τιμωμένη παρὰ τῆς σῆς ἐπαινετῆς καταστάσεως ἐκδιδάσκηται.

35. Πεπεισμένη δὲ καὶ ἄλλως, ὡς ἡ τῶν πλειόνων ἀρχὴ καὶ τῶν πλειόνων ἡ ἐπιμέλεια πλειόνων σε μᾶλλον δούλην καὶ ὑπηρέτιν μᾶλλον ποιεῖ καὶ ὡς ὑπὲρ τῶν πλειόνων καὶ πλείονα λόγον ἀποδώσεις Θεῷ, οὔτε ἐπάρσεως ἀφορμὴν τὸ τοιοῦτον |43ᵛ| ποιήσεις καὶ πολλῆς ἀγωνίας καὶ φόβου καὶ τρόμου ἀφάτου θήσεις γέμουσαν τὴν καρδίαν σου, μὴ τὰ ὑψηλὰ φρονοῦσα τῆς ἀρχῆς ἕνεκα, τοῖς δὲ ταπεινοῖς συναπαγομένη διὰ τὴν μεγάλην τῆς ἀπολογίας φροντίδα καὶ ἔννοιαν. Οὐ ταπεινοφροσύνης δὲ μόνης οὕτω καλὸν σεαυτὴν ταῖς ὑποτεταγμέναις προθήσεις παράδειγμα, ἀλλὰ δὴ καὶ ἀγάπης, ἀγάπης τῆς ὄντως ὑψηλῆς καὶ τῶν ἄλλων οὔσης ἁπασῶν ἀρετῶν τὸ κεφάλαιον· προθήσεις δὲ ἐπ' ἴσης τὴν ἅπασαν τῶν ἀδελφῶν συνοδίαν ὡς ἴδια σπλάγχνα τὸν τῶν μελῶν τρόπον καὶ ἀγαπῶσα καὶ στέργουσα· τῆς μὲν γὰρ τιμῆς τὸ πλέον ταῖς χρησιμωτέραις |44| καὶ διαφερούσαις τῶν ἄλλων παρέξεις κατὰ τὸ εὔλογον· τὴν δὲ ἀγαπητικήν σου σχέσιν καὶ τὴν συμπαθητικήν σου διάθεσιν κατὰ τὰς ἡλιακὰς ἀκτῖνας ἰσότητος ἐκπέμψεις διανομαῖς, οὐ κατὰ τὸ μᾶλλον καὶ ἔλαττον, ἐπειδή τοι καὶ

---

16. παρὰ *in ras.* | 27. ἐπίσης *cod.*

ταῦτα τὰ μέλη τοῦ σώματος ἐξ ἴσης μὲν οἴδαμεν ἐκ φύσεως ἀγαπᾶν, ὅμως δὲ ἑτέρων ἕτερα ἔχομέν τε καὶ ἄγομεν τιμιώτερα· ὀφθαλμοὶ γὰρ καὶ πόδες κατ' ἴσον μὲν ἡμῖν ἀγαπῶνται, οὐ τῆς αὐτῆς δὲ τιμῆς ἀξιοῦνται ἀμφότεροι οὐδ' ὁμοίως παρ' ἡμῖν φυλάττονται καὶ ἀμφότεροι, κἂν ἡμῶν ὁμοίως ὁ πόνος καὶ ἀμφοτέρων αὐτῶν ἅπτηται. Τῷ τοι καὶ κατὰ τὸν λόγον τοῦτον τοῦ θεωρήματος ὡς μήτηρ γνησία θυγατέρων ἐπιμελουμένη γνησίων |44ᵛ| καὶ ὅσα καὶ μελῶν ἰδίων καὶ σπλάγχνων φροντίζουσα τούτων, τὴν χρείαν ἑκάστης τῶν ὑπὸ σὲ ἐπισκέψῃ εὐσπλάγχνως καὶ κατὰ τὸ τῆς χρείας ἀνῆκον ἀπαραιτήτως τὴν θεραπείαν εἰσοίσεις καὶ τὸ ὡς ἀληθῶς ἡρρωστηκός σου μέλος τῆς συνοδίας μετὰ τῆς μητρὶ πρεπούσης εὐνοίας διαβαστάσεις καὶ ἐνισχύσεις καὶ ἀναψύξεις ὡς δύναμις.

36. Πλὴν ἀλλ' ἡ μὲν προεστῶσα σὺ καὶ διδάσκαλος τὸν τρόπον τοῦτον, ὃν καὶ ὁ λόγος ἡμῖν διὰ βραχέων ὑπέθετο τὰ πλείω παραλιπὼν ἅτε τὸ ἐπιδεικνυσθαι φεύγων καὶ ἅμα φεύγων τὸ μῆκος διὰ τὴν ἀηδίαν τοῦ κόρου οὕτω τὴν προστασίαν μεταχειριεῖς καὶ οὕτω πως ἀφηγήσῃ τῶν ἀδελφῶν, |45| τὴν ἄνωθεν ἰσχὺν τοῦ νυμφίου νοεραῖς τε καὶ ἀσιγήτοις φωναῖς ἐπιβοωμένη, ὡς ἂν ἐνισχύῃ σε αὕτη ἐν πᾶσι, τά τε τῆς διακονίας ἐπικουφίζουσα δι' οἰκείαν χρηστότητα βάρη καὶ τὸν τοσοῦτον αὐτῆς συνδιαφέρουσα κάματόν τε καὶ πόνον, εἴγε μέλει σοι τὸν τοῦ ἐπαγγέλματος πρὸς ἀξίαν ἐκπληρῶσαι σκοπὸν καὶ μηδὲ μάτην, μὴ παρ' ἀξίαν, οὕτω τῷ τῆς ἡγουμενείας κεκλῆσθαι ὀνόματι.

ε'.

Πρὸς πάσας τὰς παρθένους παραίνεσις παρακλητικὴ καὶ διεγερτικὴ πρὸς ὑπακοήν.

37. Αὖ γε δὲ καὶ ὑμεῖς, ὦ φίλαι κόραι καὶ παρθένοι καὶ νύμφαι Χριστοῦ, αἵτινές μοι καὶ χαρὰ καὶ στέφανός ἐστε καὶ δόξα καὶ καύχημα, μεμνημέναι καθ' ὥραν σχεδόν, ὅπως τε ὑμεῖς |45ᵛ| ἐκλή-

---

3. κατίσον *cod.* | 16. ἀιδίαν *cod.* | 19. δι' οἰκείαν χρηστότητα *in ras.* | 27. ἡμεῖς *cod.* | 29. καθώραν *cod.*

θητε ἢ προσελήφθητε πρὸς Θεοῦ, τίνα τέ ἐστιν ἃ καὶ ὑμεῖς μετὰ τὴν κλῆσιν ταύτην καὶ πρόσληψιν ἐπηγγείλασθε τῷ Θεῷ; τίσι τε ἀπετάξασθε καὶ τίνι ἐμνηστεύσασθε καὶ τίνι συνέθεσθε καὶ τίνι ἀπορρήτως ὡς νυμφίῳ συναφθῆναι καὶ πιστεύετε καὶ ἐλπίζετε, μετὰ πάσης ἡδονῆς καὶ χαρᾶς βαστάσατε πάντα πόνον καὶ κόπον πᾶσάν τε 5 δυσχέρειαν ἄλλην τοῦ ἀσκητικοῦ ὑμῶν εἴτουν ἀγγελικοῦ πολιτεύματος· καὶ βαστάσατε διὰ τὰς κοινὰς καὶ μεγάλας ἐλπίδας ὑμῶν, διὰ τὸν καθαρόν τε καὶ ἀρρύπαρον ἔρωτα καὶ πόθον ὑμῶν, ὃν καὶ ὀφείλετε τὸν ἀεὶ χρόνον |46| ἐν καρδίᾳ ἐκτρέφειν καὶ περιθάλπειν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ Θεὸν τὸν ἀληθινὸν ἐραστὴν 10 ὑμῶν καὶ ἐρώμενον, δι' ὃν καὶ τὰ πάντα ἐζημιώθητε ἑκουσίως καὶ ἡγήσασθε τὰ πάντα σκύβαλα κατὰ τὸν ἀπόστολον εἶναι, ἵν' ἐκεῖνον τὸν πολυπόθητον, τὸν ὄντως ἀγαπητόν, τὸν ὄντως ἀκόρεστον κερδήσητε κύριον· πρὸ δέ γε πάντων τὸν μέγαν ἆθλον τῆς μακαρίας τῷ ὄντι ὑποταγῆς καὶ ὑπακοῆς εὐψυχότατα ὑπομένουσαι διαθλήσατε, ὡς 15 αὐτῷ τῷ ὑμετέρῳ καὶ δεσπότῃ καὶ νυμφίῳ καὶ σωτῆρι Χριστῷ τῇ ὑμετέρᾳ ταύτῃ καθηγουμένῃ ἐν πᾶσιν ἀδιακρίτως καὶ |46ᵛ| πειθόμεναι καὶ ὑπείκουσαι· ὁ γὰρ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται, ἐκεῖνος ἐν εὐαγγελίοις φησί· πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώ- 20 σοντες, πᾶσιν ἐμβοῶν παραινεῖ ὁ μέγας ἀπόστολος.

38. Πείθεσθε οὖν καὶ ὑμεῖς, ὡς ἔφην, τῇ ὁδηγῷ τε καὶ διδασκάλῳ ὑμῶν καὶ ὑπείκετε καὶ πείθεσθε, ἐν μηδενὶ μηδ' ὁτιοῦν ἀντιλέγουσαι ταύτῃ, ἐν μηδενὶ μηδ' ὅλως τὰς ἐπιταγὰς αὐτῆς ἐξετάζουσαι, ἐν μηδενὶ μηδ' ὅλως αὐτὰς παραλύουσαι. Πείθεσθε τῇ ἡγουμένῃ ὑμῶν, 25 καὶ πείθεσθε ὅσα καὶ μητρὶ γνησίᾳ γνήσιαι θυγα|47|τέρες ἢ ὡς ἀνυπόκριτοι δοῦλαι καὶ ἀχρεῖαι παιδίσκαι κυρίᾳ καὶ δεσποίνῃ ἀληθινῇ, μᾶλλον δὲ καθάπερ ἄλογα τῷ ἰδίῳ ποιμένι, ταύτῃ τρεπόμενα οὗ ἂν εἴη ἡ ὁρμὴ τοῦ ποιμαίνοντος. Πείθεσθε τῇ ἡγουμένῃ ὑμῶν, ὅτι καὶ εἰς τοῦτο ἐκλήθητε, εἰς ὑπακοὴν δηλαδή, εἰς εὐπείθειαν, εἰς 30 ἄρνησιν, εἰς ἀθέτησιν παντελῆ τοῦ οἰκείου θελήματος· καὶ πείθεσθε ἐν φόβῳ Θεοῦ, ἐν εὐλαβείᾳ πολλῇ, ἐν ψυχῆς συντριβῇ, ἐν πνεύματι

11. Phil. 3, 8, 9. — 18. Matth. 10, 40. — 19. Hebr. 13, 17.

ταπεινώσεως, πάντοτε αἴρειν σπουδάζουσαι τὸν χρηστὸν καὶ γλυκὺν ζυγὸν τῆς ὑπακοῆς ἐφ' ὑμᾶς, πάντοτε τοὺς ἰδίους αὐχένας ταῖς ἱεραῖς τῆς |47ᵃ| διδασκάλου χερσὶν ὑποκλίνουσαι· αὐτὴ γὰρ ὑπὲρ τῶν ὑμετέρων ἀγρυπνήσει ψυχῶν, αὐτὴ τὰ ὑμέτερα βαστάσει φορτία, 5 αὐτὴ κριτὴς ἔσται τῶν ὑμετέρων, ὁδηγὸς αὐτή, παιδαγωγὸς αὐτή, διορθωτὴς αὐτή, αὐτὴ οἰκονόμος, αὐτὴ φροντιστής, τὰ πάντα αὐτή, αὐτὴ καὶ ἀντὶ πατρός, αὐτὴ καὶ ἀντὶ μητρὸς καὶ ἀντὶ ἀδελφῶν αὐτὴ καὶ ἀντὶ ἄλλων συγγενῶν καὶ συνήθων καὶ φίλων αὐτή, ἀλλὰ καὶ ἀντὶ πάντων τῶν ἄλλων αὐτή, αὐτὴ διδάσκαλος, αὐτὴ σύμ- 10 βουλος, αὐτὴ ἰατρός, αὐτὴ παρήγορος, αὐτὴ παράκλησις, αὐτὴ θεραπεία, αὐτὴ ἀναψυχή, αὐτὴ παραμύθιον, μᾶλλον δὲ ἵν' εἴπωμι |48| τὰ μείζω καὶ τελεώτερα, αὐτὴ τὴν ἑαυτῆς ψυχὴν χριστομιμήτως θήσει ὑπὲρ ὑμῶν καὶ αὐτὴ ἀποδώσει τὸν λόγον ὑπὲρ ὑμῶν ἐν τῷ τῆς δικαιοκρισίας καιρῷ τῷ πάντ' ἀδεκάστως κρινοῦντι Χριστῷ τὰ 15 ἡμέτερα.

39. Οὐδενὸς ὑμῖν ἡ ὑπακοὴ ἐναντίου, οὐδενὸς ἐπιβλαβοῦς, οὐδενὸς ἐπιζημίου πρόξενος ἔσεται, μάλιστα μὲν οὖν καὶ παντὸς καλοῦ καὶ παντὸς ἀγαθοῦ σωτηριώδης ὑπόθεσις. Τίνων δὴ τούτων; Ἀφέσεως, ἐλευθερίας, πνευματικῆς συγγενείας, ἀθανασίας, ζωῆς. Ἀφέσεως μέν, 20 ὅτι καθάπαξ ἀφήσει πάσας ὑμῖν τὰς ἁμαρτίας ὑμῶν, εἴπερ ἀληθεύει ὁ ψάλλων· ἴδε τὴν |48ᵛ| ταπείνωσίν μου καὶ τὸν κόπον μου καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. Ἐλευθερίας δέ, ὅτι ἀπολύσει τελείως καὶ ἀπαλλάξει τῆς τῶν παθῶν πικροτάτης δουλείας ὑμᾶς. Πνευματικῆς συγγενείας, ὅτι χάριτος θείας ἀξιώσει ὑμᾶς, ὅτι γνησίως θυγατρο- 25 ποιήσει ὑμᾶς τῷ Θεῷ. Ἀθανασίας δὲ καὶ ζωῆς πάλιν, ὅτι ἀθανασίαν παρέξει ὑμῖν, παρέξει καὶ ζωὴν ἀτελεύτητον.

40. Καὶ τοῦ λόγου μοι μάρτυς ὁ πολὺς τὴν ὑπακοὴν ἐκεῖνος καὶ μέγας Ἀκάκιος. Ἄνθρωπος γὰρ ἐργάτης ὑπακοῆς ἀληθὴς (ἐρωτηθεὶς καὶ θανὼν οὗτος εἶπεν ἀπὸ τοῦ τάφου λαλήσας) οὐδ' ὅλως τεθνήξεται. 30 Διὰ τῆς ὑπακοῆς εἰς |49| παράδεισον, ὅθεν ἐκ παρακοῆς τὴν ἀρχὴν ἐκπεπτώκαμεν, ῥᾴδιως πάλιν ὑμεῖς εἰσαχθήσεσθε, μᾶλλον δὲ καὶ εἰς

---

4. Hebr. 13, 17. — 21. Psalm. 24, 18. — 28. Iohannis Climaci Scala Parad. 4, P. G. 88, 720.

8. αὐτὴ *in ras.*

αὐτοὺς τοὺς οὐρανοὺς ἀναχθήσεσθε, ὅτι καὶ τὸ πολίτευμα ἡμῶν ἐν οὐρανοῖς ἐστιν, ὡς ἠκούσαμεν· οὗ γὰρ αὐτὸς ὁ Χριστός, ἐκεῖσε ἀνάγκη καὶ αἱ καθ' ὑμᾶς αὐτῷ κατακολουθοῦσαι καὶ τὴν ἐκείνου ἀψευδῶς καὶ ὑπακοὴν καὶ ταπείνωσιν ἐκμιμούμεναι. Ἐάν τις γὰρ ἐμοὶ διακονῇ, τὰ ἱερά φησιν εὐαγγέλια, ἐμοὶ ἀκολουθείτω, καὶ ὅπου 5 εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται.

41. Διὰ τῆς ὑπακοῆς καὶ τὸ ἀρχαῖον τῆς ἡμετέρας φύσεως ἀγαθὸν καὶ ἡ ἐκείνης εὐγένεια καὶ ἐν |49ᵛ| ὑμῖν αὐταῖς ἀνακληθήσεται πάλιν, καὶ τῆς προμήτορος ἡμῶν Εὔας ἡ διὰ τὴν παρακοὴν ἁμαρτία δι' ὑμῶν πάλιν συγκαλυφθήσεται διὰ τὴν ὑπακοήν· καὶ τοῦ σωτῆρος 10 ἡμῶν καὶ Θεοῦ ὑμεῖς ἔσεσθε μαθήτριαι ἀψευδεῖς καὶ τὴν ἐν σαρκὶ πολιτείαν ἐκείνου καὶ τῶν ἀποστόλων ἐκείνου ζηλώσετε ὑμεῖς εἰς ἀλήθειαν, τοῦ μὲν σωτῆρος, ὅτι ἐκεῖνος μέχρι θανάτου ὑπήκουσε τῷ ἰδίῳ πατρί, τῶν δὲ ἀποστόλων πάλιν, ὅτι καὶ οὗτοι κατὰ τὸν αὐτὸν ὑπετάγησαν τρόπον αὐτῷ τῷ Χριστῷ καὶ τὸν ἐκείνου ὑπὲρ 15 ἡμῶν ἐπονείδιστον ἐμιμήσαντο θάνατον.

42. Αὕτη ἡ πανάρετος καὶ πανοσία ὑπακοὴ καὶ μαρ|50|τύριον καὶ ὁμολογία παρὰ τοῖς ἀρχαιοτέροις τῶν πατέρων ὠνόμασται· διὰ τοῦτο καὶ ὡς μάρτυρας ὑμᾶς αὐτὴ στεφανώσει καὶ τῆς δόξης τῶν ὁμολογητῶν ἀξιώσει· ἐῶ λέγειν, ὅτι καὶ τὴν τῶν ἀγγέλων ὑμῖν 20 αὐτὴ προξενήσει λαμπρότητα. Ἀληθῆ δὲ καὶ τελείαν ὑπακοὴν πρὸς τὴν ὑμετέραν διδάσκαλον ὑμεῖς ἐν τούτῳ δὴ ἐπιδείξετε, ἐν τῷ μὴ μόνα τὰ ἄτοπα καὶ τῷ θείῳ νόμῳ παντάπασιν ἀπηγορευμένα κατὰ τὴν συμβουλὴν αὐτῆς ἀπαρνεῖσθαι καὶ ὑποθήκην, ἀλλὰ μηδὲ αὐτὰ τὰ εὐάρεστα καὶ φίλα Θεῷ δίχα τῆς προτροπῆς καὶ γνώμης ἐκείνης 25 ποιεῖν· ἡ γὰρ καὶ ἐν τούτοις, φημὶ δὴ |50ᵛ| τοῖς εὐαρέστοις Θεῷ, παραινούσῃ μὴ πειθομένη τῇ διδασκάλῳ μηδ' ὑπακούειν ἀνεχομένη ἄντικρυς εἰς Θεὸν πλημμελεῖ· καί γε δεινῶς πλημμελεῖ καὶ οὕτω δεινῶς, ὥστε καὶ ὡς ἀντιτασσομένη Θεῷ παρὰ τῷ Θεῷ δικαίως λογίζεσθαι. Ὁ γὰρ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, φησὶν ὁ ἀπόστολος, 30 τῇ διαταγῇ ἀνθέστηκε τοῦ Θεοῦ· οἱ δὲ ἀνθεστηκότες ἑαυτοῖς κρίμα λήψονται· εἴ τις ἔρχεται πρός με, ἀπαρνησάσθω ἑαυτόν, φησὶν ὁ Χριστός.

---

1. Phil. 3, 20. — 5. Ioh. 12, 26. — 30. Rom. 13, 2. — 32. Matth. 16, 24.

43. Τοῦτο δὲ (τοῦτ' ἔστι τὸ ἀπαρνήσασθαι ἑαυτούς) οὐκ ἄλλως ἂν κατορθῶσαι δυνήσησθε, εἰ μή τοι γε τῆς προτέρας καὶ κοσμικῆς συνηθείας ὑμῶν, |51| εἰ μὴ τῶν οἰκείων θελημάτων ὑμῶν ὑμεῖς καθάπαξ ἀλλότριοι γένοισθε· τὸ γὰρ ἐξακολουθεῖν τινα ἀφ' ὑμῶν
5 τοῖς ἰδίοις θελήμασι καὶ τῇ προτέρᾳ συνηθείᾳ χρωμένην τὰς ἑαυτῆς ὀρέξεις τε καὶ ἀρέσκειαν πληροῦν, τοῦτο παρὰ τοῖς πατράσι καὶ διδασκάλοις τέλεον ἀπηγόρευται· ἐν γὰρ παντὶ πράγματι τὸ κατ' ἰδίαν θέλησιν ποιεῖν τι τὴν ἐν ὑποταγῇ οὖσαν οὐ μόνον ἁπλῶς οὐ καλὸν τῇ ἀληθείᾳ δοκεῖ, ἀλλὰ καὶ ψυχοβλαβές, ἀλλὰ καὶ ὀλέθριον,
10 ἐπειδή τοι καὶ προδήλως ἄγαν τῇ διδασκαλίᾳ Χριστοῦ ἀντιδιατίθεται τοῦ εἰπόντος· καταβέβηκα ἐκ τοῦ οὐρανοῦ |51ᵛ| οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός· ὡς δὲ καὶ τοῦ ἀποστόλου εἰρηκότος καὶ τούτου, ἵνα μὴ ἃ ἂν θέλοιτε ταῦτα ποιῆτε.

44. Ἡ γοῦν ἐξ ἰδίας ἀρεσκείας καὶ αὐθεντίας κινουμένη τι
15 πράττειν ὑψηλοφροσύνης πάθος νοσεῖ, τὸ δὲ ἐν ἀνθρώποις ὑψηλὸν (τὸ ἱερόν φησι λόγιον) βδέλυγμά ἐστιν ἐνώπιον τοῦ Θεοῦ· εἰ δὲ τὸ ὅλως ἑαυτῷ ἐπιτρέπειν κατάκριτον ὡς ὑπεύθυνον, εὔδηλον, ὡς πᾶν τὸ παρὰ τῆς διδασκάλου ἐγκεκριμένον καὶ ἐντεταλμένον, κἂν ἴσως δοκῇ ἐπιλήψιμον, ἀκατάκριτον παντελῶς ὡς ἀνεύθυνον. Οὐ πρά|52|ξετε οὖν
20 τι ὅλως τῆς διδασκάλου μὴ βουλομένης μηδὲ ἐπιτρεπούσης ὑμεῖς, ὅτι τοι μηδὲ ὄργανον πάντως, ἠρεμοῦντος τοῦ τεχνίτου καὶ ἀπρακτοῦντος, εἰς ἐργασίαν ἀφ' ἑαυτοῦ τινα κινηθήσεται, ἀλλ' οὐδέ τι μέλος τοῦ σώματος, μὴ τῆς ἐνοικούσης τῷ σώματι τούτῳ ψυχῆς πρὸς τὴν κίνησιν ἐκεῖνο παρορμώσης τὸ μέλος, κινηθείη ἂν παρά
25 γε τὸ ἐκείνῃ δοκοῦν.

45. Πρὸς μὲν οὖν τὴν πνευματικῶς προϊσταμένην ὑμῶν καὶ διδάσκαλον οὕτως ὑμεῖς γε διατεθήσεσθε καὶ οὕτω ταύτῃ ὑποταγήσεσθε, ὡς ὁ λόγος φθάσας ὡρίσατο. Πῶς δὲ πάλιν καὶ πρὸς ἀλλήλας διατεθήσεσθε; |52ᵛ| ὡς ἐδίδαξε σαφῶς ὁ μακάριος καὶ μέγας ἀπόσ-
30 τολος, τῇ τιμῇ ἀλλήλας προηγούμεναι δηλονότι καὶ διὰ τῆς ἀγάπης τοῦ πνεύματος ἀλλήλαις ὑπηρετοῦσαι καὶ ἀλλήλαις δουλεύουσαι,

---

11. Ioh. 6, 38. — 13. Gal. 5, 17. — 15. Luc. 16, 15. — 30. Rom. 12, 11.

7. θέλησιν *in ras.* | 9 ἄγαν *in ras.*

ἄντικρυς τὸ εὐαγγελικὸν ἐκεῖνο δι' ἔργων τηροῦσαι τὸ ὁ θέλων ἐν ὑμῖν εἶναι μέγας ἔστω πάντων δοῦλος καὶ πάντων ἔσχατος καὶ πάντων διάκονος· καὶ γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν· τῇ φιλαδελφίᾳ τε εἰς ἀλλήλας φιλόστοργοι οὖσαι καὶ λυπούμεναι μὲν |53| καὶ θρηνοῦσαι ἐφ' οἷς τινες ἀπὸ τῶν φιλουμένων ὑμῖν καὶ τῶν στεργομένων ἁμαρτάνουσιν ἀδελφῶν καὶ τὰς ἰδίας ἑαυτῶν ψυχὰς ἔν τισι καταβλάπτουσιν, ὧν καὶ ὁ κίνδυνος φρίκης ταῖς ἀληθείαις μεστός, χαίρουσαι δὲ καὶ εὐφραινόμεναι πάλιν, εἴ τινές εἰσιν ἐν ὑμῖν κατορθοῦσαι τὰς καλὰς ἐργασίας τῆς ἀρετῆς, ὧν καὶ τὸ κέρδος πάντως ἀσύγκριτον κατὰ τὴν κλαίειν μετὰ κλαιόντων καὶ χαίρειν μετὰ χαιρόντων κελεύουσαν ἐντολήν, καὶ κατὰ τό· εἰ πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη |53ᵛ| τῷ λόγῳ πάντως τῆς ἐν Χριστῷ ἀγάπης καὶ τῆς πνευματικῆς διαθέσεως, καὶ εἰ δοξάζεται ἓν μέλος, τὰ εἰς εὐαρέστησιν πρᾶττον δηλαδὴ τοῦ Θεοῦ, συγχαίρει πάντα τὰ μέλη· εἰ γὰρ μὴ πρὸς ἀλλήλας οὕτω συνδιατεθείητε καθαρώτατα, ἐλεγχθήσεσθε πᾶν τοὐναντίον οὖσαν ἀλλ' οὐ φιλάδελφοι.

46. Καὶ πᾶσαν μὲν φιλονεικίαν καὶ ἔριν ψιθυρισμούς τε καὶ καταλαλιὰς καὶ ζηλοτυπίας καὶ ὅσα τῆς βασκανίας καὶ ὅσα τῆς ἔχθρας γεννήματα κάκιστα ἐκποδὼν ἑστάναι ποιοῦσαι καὶ κοινωνίαν βίου τελειοτάτην μετὰ πολλῆς ἀσφαλείας φυλάτ|54|τουσαι, ἐν ᾗ πᾶσα μὲν κτῆσις ἐξορισθήσεται ἰδιάζουσα, πᾶσα δὲ γνώμης ἀπελαθήσεται ἐναντίωσις μερικαί τε ἀργήσουσιν ἑταιρίαι, ἀργήσει τὸ ἐμὸν καὶ τὸ σόν, πᾶν ἰδιάζον ἀργήσει, πᾶν ἰδιόκτητον, κρατήσει δὲ μετὰ πολλῆς τῆς περιουσίας μᾶλλον τὸ εἶναι πάντα κοινὰ ἐν ὑμῖν, ψυχάς, φρονήματα, σώματα, ὅσοις τὰ σώματα τρέφεται καὶ ὅσοις ἄλλοις αὐτὰ θεραπεύεται· τὸ δὲ δὴ μέγιστον, κοινὸν αὐτὸν τὸν Θεόν, κοινὰ τὰ τῆς σωτηρίας, κοινοὺς τοὺς ἀγῶνας, κοινοὺς τοὺς ἱδρῶτας, κοινὰ τὰ σκάμματα, κοινὰ τὰ κα|54ᵛ|τορθώματα, κοινὴν τὴν νίκην, τὰ ἔπαθλα κοινά, τὰ βραβεῖα κοινά, κοινοὺς τοὺς μισθούς, κοινὴν τὴν δόξαν, τοὺς στεφάνους κοινούς. Πολλὰ μὲν καὶ διῃρημένα ἔσται τὰ σώματα ἐν ὑμῖν, ἀλλὰ ψυχὴ μία ἐν πάσαις, ἀλλὰ ψυχὴ ἀδιαίρετος· πολλὰ μὲν σώματα, ἀλλὰ γνώμης τῆς αὐτῆς τὰ σώματα ὄργανα.

---

1. Matth. 9, 35. — 3. Matth. 20, 28. — 11. Rom. 12, 15. — 12. 1 Cor. 12, 26.

47. Εἰ οὕτω συνδιατεθείητε πρὸς ἀλλήλας, εἰ οὕτω διαβιώητε, ὄντως ἔσται κατὰ Χριστὸν ὑμῖν τὸ πολίτευμα, ὄντως ἔσεσθε παρεμβολὴ Θεοῦ ὑμεῖς καὶ παράταξις, ὄντως ἐγκάνονος Χριστοῦ ἐκκλησία, ὄντως |55| αὐτὴν ζηλώσετε τὴν τῶν ἀγγέλων ζωήν, καὶ τὴν ἐνάρετον
5 ταύτην πολιτείαν καὶ κοινωνίαν ὑμῶν ὄντως ἀκριβὲς εἶναι μίμημα τῆς ἐλπιζομένης ἡμῖν ἐν τῷ μέλλοντι διαγωγῆς τε καὶ καταστάσεως παραστήσετε. Τοῦτον μετὰ ἀκριβείας τῆς εὐσεβείας καὶ ὁσιότητος ὑμεῖς μετιοῦσαι τὸν βίον οὕτω τε πρὸς τὴν διδάσκαλον καὶ πρὸς ἀλλήλας διαθέσεως ἔχουσαι καὶ στοργῆς, φανήσεσθε μὲν καὶ πᾶσιν,
10 ὅτι τὴν ἄκραν ἀρετὴν ἐζηλώκατε, καὶ μακαρισθήσεσθε παρὰ πᾶσιν ἐν τούτῳ, κληρονομήσετε δὲ καὶ τῆς τῶν οὐρανῶν |55ᵛ| βασιλείας τὸ τελευταῖον, ἀξιωθήσεσθε δὲ καὶ τῶν βασιλικῶν παστάδων καὶ ἀϊδίων, τῶν ἀκαταλύτων θαλάμων, τῶν ἀκηράτων νυμφώνων καὶ τῶν ἀγαθῶν ἐκείνων, ἃ ὀφθαλμὸς οὐκ εἶδε, κατὰ τὸ γεγραμμένον, καὶ οὖς
15 οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ καὶ ἡτοίμασεν ὁ Θεὸς ταῖς καθαραῖς αὐτοῦ παρθένοις καὶ ἱεραῖς καὶ ὅσαι τὸν ἀληθῆ καὶ καλὸν νυμφίον ὑμῶν ἐκ ψυχῆς ἠγαπήκασιν.

ς'.

Τίς ἡ τοῦ ἐκκλησιαρχείου ἐπιστάτις τε καὶ
20 διάκονος καὶ ὁποῖον τὸ ἔργον αὐτῆς.

48. Ἐπεὶ δὲ πᾶν τὸ τῆς ὑμετέρας ἀδελφότητος πλήρωμα με|56|θ' ἅμα τῆς προκαθημένης ὑμῶν ἐν Χριστῷ ὁλοκλήρῳ σώματι ἔοικεν, ἔκ τε κεφαλῆς καὶ διαφόρων συγκειμένῳ τε καὶ ἀπηρτισμένῳ μελῶν, διάφορον καὶ τὴν δύναμιν ἐχόντων καὶ τὴν ἐνέργειαν, καὶ
25 χρὴ κἀνταῦθα ἐν τῇ ὑμετέρᾳ δὴ ταύτῃ συναφείᾳ καὶ ἁρμονίᾳ φημὶ κατὰ τὸν λόγον τῶν μελῶν τοῦ σώματος τούτου μιᾷ ἑκάστῃ ὑμῶν τὸ κατ' ἀξίαν καὶ ἀνάλογον ἀπονεμηθῆναι τῆς τάξεως, ὥστε καὶ τὴν μέν τινα ὀφθαλμοῦ δύναμιν καὶ τάξιν ἐπέχειν, τὴν δὲ ἀκοῆς, τὴν δὲ στόματος, ἄλλην χειρός, ἑτέραν |56ᵛ| ποδὸς καὶ ἑκάστην ἑκάστου,

---

14. 1 Cor. 2, 9.

25. ... α δὴ *in ras.*

ὡς ἂν ὁμοῦ μὲν πᾶσαι κατ' ἀναλογίαν καὶ ὡς ἡ χρεία τοῦ κοινοῦ σώματος ἀπαιτήσειε τὰς ὑμετέρας δυνάμεις καὶ ἐνεργείας ἐν τοῖς ἐπιβάλλουσιν ἀφθόνως καὶ ἀρραθύμως πρὸς τὴν κοινὴν παρέχητε λυσιτέλειαν, ὁμοῦ δὲ καὶ τὸ εὔσχημον ἐν τῇ ὑμετέρᾳ διαγωγῇ δεικνύητε καὶ τὸ εὔτακτον κατὰ τὸν λόγον τοῦ ἀποστόλου <τοῦ> λέγοντος· πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω, ἀκόλουθον ἂν εἴη μετά γε τὰ εἰρημένα καὶ περὶ τῶν ἄλλων παρθένων καὶ διακόνων καὶ τῶν κατ' αὐτὰς διακονιῶν διαλαβεῖν με καὶ τάξαν |37| ἰδιαζόντως, ὡς ἂν χορηγήσῃ κἀν τούτοις Θεός.

49. Καὶ πρό γε τῶν ἄλλων περὶ τῆς ἀναδεξομένης ἐν πάσαις ταῖς ἱεραῖς τῆς ἐκκλησίας συνάξεσι τὴν προστασίαν καὶ τὴν ἀρχήν. Εἶτα δὲ καὶ περὶ τῆς δευτέρας καὶ μετ' αὐτήν, ἥτις δὴ καὶ τῆς κοινῆς οἰκονομίας τῶν ὅλων ἐπιστατεῖν καὶ ἐκλεγήσεται καὶ ταχθήσεται, ἐπειδή τοι καὶ αὗται μετὰ τὴν κοινὴν μητέρα καὶ προεστῶσαν τῶν λοιπῶν ὑπερέχουσι καὶ προέχουσιν, ἐπειδή τοι καὶ αὗται μᾶλλον τῶν ἄλλων τῇ κοινῇ διδασκάλῳ καὶ ὁδηγῷ προσεγγίζουσιν, ἡ μὲν ἐν τοῖς πνευματικωτέροις καὶ ὅσα οἶδεν |37ᵛ| εἰς αὐτὴν τὴν ψυχὴν διαβαίνειν καὶ ἀναφέρεσθαι, ἡ δὲ εἰς τὸ οἰκονομεῖν τεταγμένη, ἐν οἷς διοικεῖσθαι τὸ σῶμα τῆς ταπεινώσεως πέφυκε τοῦτο τὸ ὑλικὸν καὶ φθειρόμενον.

50. Καὶ γοῦν εἰς τὸ ἐξάρχειν τῶν ἐκκλησιαστικῶν ἁπασῶν ἐκλεγήσεται παρά τε τῆς ἀφηγουμένης αὐτῆς παρά τε τῶν λοιπῶν ἀδελφῶν ἡ κρείττων καὶ διαφέρουσα κατά τε σύνεσιν καὶ εὐλάβειαν, κατά τε ἠθικὴν κοσμιότητα καὶ εὐστάθειαν καὶ μάλιστα τὴν ἔνδον τῆς ψυχῆς ἁγνείαν καὶ καθαρότητα, ἐμμελέστερόν τε καὶ ἐπιστημονικώτερον μελῳδεῖν καὶ ψάλ|38|λειν εἰδυῖα καὶ τὸν ἐκκλησιαστικὸν ἐπισταμένη κανόνα καὶ τύπον τῶν ἄλλων παρὰ πολὺ ἀκριβέστερον, ἔτι γε μὴν καὶ περὶ τοὺς ἱεροὺς ὕμνους καὶ τὰς θείας δοξολογίας καρτερική τις καὶ φιλόπονος οὖσα καὶ τῷ πνεύματι πεπυρωμένη καὶ ζέουσα, τὸ μὲν ἵνα καὶ τὰς ἄλλας ὅσαι τῆς ἐκκλησίας, ἑαυτὴν ὑπόδειγμα τοῦ ἔργου τοῦ καλοῦ προτιθεῖσα, πρὸς τὸν ὅμοιον καὶ ἔνθεον ζῆλον ἀνάπτῃ καὶ διεγείρῃ καὶ πείθειν ἔχῃ ἀφ' ἑαυτῆς μὴ

---

6. 1 Cor. 14, 40.

5. τοῦ *suppl. om. cod.* | 14. τοι καὶ αὗται μετὰ τὴν κοινὴν *in ras.*

ὄκνῳ εἴκειν, μὴ ἀκηδίᾳ, μὴ νυσταγμῷ, μηδέ τινι ῥᾳθυμίᾳ |58ᵛ| ὅλως περὶ τὰς καθ' ἑκάστην προσάγεσθαι ὀφειλομένας ὑμνῳδίας Θεῷ, μετὰ σπουδῆς δὲ μάλιστα θερμοτάτης καὶ ἐγρηγόρσεως πλείστης καὶ ἀρχομένας καὶ τελευτώσας τούτων ἐξέχεσθαι, τὸ δὲ ἵνα καὶ μηδέν τι
5 τῶν ἀνηκόντων διὰ τὴν ἀπειρίαν ἐκείνης καὶ ἄγνοιαν ἐν ταῖς τεταγμέναις ἄνωθεν προσευχαῖς τε καὶ ψαλμῳδίαις παραλιμπάνηται μηδέ τις τρόπος δοξολογίας παραλύηται καὶ συγχέηται, ὃ καὶ τοῦ τελείως παραλιπεῖν οὐκ ἔλαττον τέως ἔγωγε τίθεμαι, εἴπερ ὄχημα ὀνομάζεται τῶν δαιμόνων ψαλμοῦ τε |59| διάλυσις ἡ σύγχυσις πέφυκεν, ὥς
10 τινες τῶν πατέρων ταῦθ' οὕτως εἰρήκασι.

51. Καὶ μὴν καὶ ἑκάστῃ τῶν ἐκκλησιαστικῶν αὐτὴ τὴν ἀξίαν χώραν καὶ στάσιν παρέξει, πλὴν εἰδυίας καὶ τῆς προεστώσης καὶ ἅμα προτρεπούσης καὶ τοῦτο αὐτῆς.

52. Τὴν εὐπρέπειάν τε τοῦ ἁγίου σκηνώματος τοῦ Θεοῦ καὶ
15 τὴν ἐκείνου καθαρειότητα ἀγαπήσει καὶ πᾶσαν περὶ τὸ μέρος τοῦτο σπουδὴν εἰσοίσει καὶ ἐπιμέλειαν, ὡς ἂν καὶ ἐνταῦθα μηδὲν ἀπρεπές, μηδὲν ἀκόσμητον εἴη, μηδέν τι τὸ σύνολον ἀτημέλητον.

53. Τὰς τεταγμένας δύο φωταγωγοὺς νύκτωρ καὶ |59ᵛ| μεθ' ἡμέραν ἀνάπτεσθαι ἀγρύπνως εἰς δόξαν Θεοῦ πολλὴν πρόνοιαν
20 ποιήσεται, ἀνάπτειν καὶ ἔχειν πάντοτε ἀκοιμήτους αὐτάς, καθὼς ἡμεῖς καὶ διετυπώσαμεν καὶ διεταξάμεθα· φροντίσει τε τοῦ μηδεμίαν φιλονεικίαν, μηδένα θόρυβον ἐν ταῖς ἐκκλησιαστικαῖς καὶ ἁγίαις συνάξεσι γίνεσθαι μηδέ τι τῶν ψιθυριστικῶν καὶ ἀργῶν λόγων ἐν ταύταις λαλεῖσθαι, ἀλλὰ μόνα ὁπόσα δόξαν προσφέρειν καὶ αἶνον πλέκειν
25 δύναται τῷ Θεῷ ψυχήν τε φωτίζει καὶ ταύτην εἰς Θεὸν ἀνάγει κἀκεῖσε δι' ὅλου παρασκευάζει ἀνίπτασθαι· ὡς ἂν δὲ |60| οὕτως εὐτάκτως, οὕτως εὐκόσμως, οὕτως ἀπαραλείπτως γίνηται ταῦτα, γίνηται δὲ καὶ τῆς κανοναρχίας ἡ ὑπηρεσία μετ' εὐσχημοσύνης ἁπάσης καὶ τάξεως, ὑποκείσονται ταύτῃ καὶ ὑπακούειν ταύτῃ ταχθήσονται καὶ ὁπόσαι
30 τῶν νεανίδων εἰς μόνον τὸ ψάλλειν καὶ ὥστε τὰ γράμματα ἐκπαιδεύεσθαι μόνα τὴν ἅπασαν ἄγουσι σχολὴν καὶ τὸ σπούδασμα.

---

14. Psalm. 25. 8.

15. καθαρειότητα *partim in ras.* | 20. πρόνοιαν ποι... *in ras.* | 27. γίνεται *cod.*

ζ'.

Τίς ἡ τῆς κοινῆς οἰκονομίας διάκονός τε καὶ ἐπιστάτις καὶ τί τὸ ἔργον αὐτῆς.

54. Ἡ μὲν οὖν τῶν ἐκκλησιαστικῶν ἐξάρχουσα καὶ πρωτεύουσα τοιαύτη τε ἔσται ὑμῖν καὶ τοιοῦτον τὸ |60ᵛ| ταύτης ἱερὸν διακόνημα καὶ λειτούργημα. Δεῖ δὲ καὶ τὴν εἰς τὴν κοινὴν οἰκονομίαν ταχθησομένην τοιαύτην ἐκλεγῆναι ὁμοιοτρόπως, ὁποίαν ἄντικρυς ἡ τοιαύτη διακονία ζητεῖ· καὶ τὰ πράγματα, παραδραμοῦσαν μὲν καὶ τὸ νεάζον δηλονότι καὶ ἀκμαῖον τῆς ἡλικίας ἐν πρώτοις καὶ οὖσαν μὲν ἤδη γηραιάν, οὐ τοσοῦτον τὸν χρόνον, ὅσον τὴν σύνεσιν αὐτὴν καὶ τοὺς τρόπους καὶ τὸ εἰλικρινὲς τοῦ βίου καὶ ἀκηλίδωτον, οὖσαν δὲ καὶ ἄλλως τοῖς ἀσκητικοῖς καμάτοις καὶ πόνοις οὐκ ὀλίγον ἐγγεγυμνασμένην, προσέτι δὲ καὶ πολλὴν ἐμπειρίαν |61| τῷ χρόνῳ ἀθροισαμένην καὶ μέντοι καὶ ἔχουσαν ἐν τοῖς πράγμασι· τοιαύτη γὰρ οὖσα οὔτε ὀκλάσει πάντως μικροψυχήσασα ἐν τοῖς πόνοις, ὑπὲρ τὰς ἄλλας διὰ τὴν χρείαν ἀναγκαζομένη πονεῖν, οὔτε δι' ἀνάγκην καὶ βίαν ἴσως ποτὲ τῆς μονῆς ἐξιοῦσα, τοῦ ἐπισκέψασθαι τὰ τῆς μονῆς ἕνεκα πείσεταί τι τῶν ἀβουλήτων καὶ ἃ ψυχὴν ζημιοῦν μέμψιν τε προστρίβειν αὐτῇ καὶ κατάγνωσιν δύναται· καὶ πεῖραν δὲ ἔχουσα ὡς εἴρηκα τῶν πραγμάτων τοιαύτην, οὐδ' ὅλως ἀνέξεται τὰ τοῦ μοναστηρίου πεσεῖν εἰς ἐλάττωσίν τε καὶ ὕφεσιν, |61ᵛ| μὴ καλῶς μηδ' ὡς χρὴ διοικούμενα.

55. Καὶ γοῦν ἡ τοιαύτη οὐ τῶν ἐντὸς ἐπιμελήσεται μόνων οὐδὲ ταῦτα μόνα ὡς αὐτῇ ἰδίως ἀνήκοντα διοικήσει μετὰ πίστεως πολλῆς καὶ φρονήσεως, ἀλλά γε καὶ περὶ τῶν εἰσόδων καὶ τῆς ἐπικαρπίας καὶ τῶν γεννημάτων τῶν ἔξω κτημάτων αὐτὴ ἐξετάσει, αὐτὴ καὶ πρὸς ἀκρίβειαν γνώσεται· καὶ παρ' ἑκάστου δὲ τῶν ἐνεργούντων ταῦτα καὶ διοικούντων, ἐν τῇ μονῇ δηλαδὴ ἀπαντώντων, ἐξ ἀναγκαίου αὐτὴ ἀπαιτήσει τοὺς λόγους· καὶ ἃ μὲν ὡς γοῦν ἔδει προέβη, ταῦτα δὴ καὶ βεβαιώσει, ταῦτα δὴ καὶ ὡς καθηκόντως προβάντα ἐς

---

30. δὴ *in ras.*

τὰ μάλιστα ἀσφαλίσεται· |62| ἃ δὲ πάλιν μὴ καθηκόντως προέβη, ἐκεῖνα δὴ διορθώσεως ἀξιώσει τῆς προσηκούσης, ἐκεῖνα καὶ τῆς κρείττονος εἶναι μοίρας ἐν τοῖς μετὰ ταῦτα ποιήσεται. Ἃ δὴ καὶ πάντα αὐτὴ παραλαβοῦσα καὶ ἤδη ἔχουσα ἐν χερσί, τοὺς μὲν καρποὺς
5 καὶ ὅσα ἄλλα τοιαῦτα, ἐν τοῖς ἰδίοις αὐτῶν ἀποθήσει ταμείοις, μετὰ πολλῆς ἀκριβείας ταῖς ἐφισταμέναις ἐν τούτοις παραδιδοῦσα τῶν ἀδελφῶν. Τοὺς δὲ λόγους ἅπαντας αὐτῇ ἀναθήσει τῇ ἡγουμένῃ καὶ ταῖς κρείττοσι μετ' αὐτῆς· οὐ μὴν δὲ ἀλλὰ καὶ εἴ τι περ ἕτερον ἐν χρυσῷ καὶ ἀργύρῳ ὁρᾶται, καὶ τοῦτ' |62ᵛ| αὐτῇ ἀποδώσει καὶ ἐγχει-
10 ρίσει· καὶ αὐτὴ δὲ πάλιν ἡ ἡγουμένη μετὰ καὶ τῆς εἰδήσεως τῶν κρειττόνων ἐκεῖσε εἰσαγαγοῦσα φυλάξει, ἔνθα καὶ τὰ τοιαῦτα θησαυρίζεσθαί τε καὶ ἀσφαλίζεσθαι εἴωθεν.

η'.

Πῶς ὀφείλουσιν αἱ ἐκκλησιαστικαὶ τὰς
15 ἐκκλησιαστικὰς συνάξεις ἀποπληροῦν ἐν τῇ ἐκκλησίᾳ συναθροιζόμεναι καὶ τί ποτε ἄρα τὸ ἔργον αὐτῶν.

56. Αἵ γε μὴν αὐταὶ αἱ ἐκκλησιαστικαὶ καὶ τὰς ἐπιτελουμένας ἐν τῇ ἐκκλησίᾳ συνάξεις ἔργον ἄσχολον ἔχουσαι μόνον καὶ τοῦθ' ὡς
20 λειτουργίαν ἰδίως ἀνατεθειμένην αὐταῖς ἐκπληροῦσαι, πάσης μὲν ἑτέρας διακονίας καὶ ὑπηρεσίας ἀφέξονται, ἑνὸς δὲ μόνου τούτου τοῦ μείζονος ἔργου γενήσονται. Διὰ τοῦ|63|το καὶ τοῦ ξύλου τῶν συνάξεων κρουομένου καὶ τὰς μὴ ἐνασχολουμένας ἐργασίαις ἑτέραις εἰς τὸν θεῖον σηκὸν ἁπαντᾶν συγκαλοῦντος, πρῶται μὲν αὐταὶ ἀπαντή-
25 σουσι, πρώτας δὲ καὶ τὴν σπουδὴν καὶ τὴν προθυμίαν καὶ τῷ τῆς ψυχῆς νηφαλίῳ ἐν ταῖς θείαις ὑμνολογίαις τῶν ἱερῶν συναθροίσεων ἑαυτὰς ἐπιδείξουσι, πάντα πόνον σωματικὸν καὶ πᾶσαν ἀσθένειαν φυσικὴν παρορῶσαι τῇ τῆς ψυχῆς ἀνδρείᾳ καὶ γενναιότητι, μετὰ φόβου τε παριστάμεναι καὶ δουλεύουσαι πολλοῦ τῷ κυρίῳ καὶ τοῦτον
30 ἐν πόθῳ αἰνοῦσαι καὶ τούτῳ ἐν τρόμῳ σὺν ἀγαλλιάσει καρδίας |63ᵛ|

---

5. ταμείοις μετὰ πολλῆς *in ras.* | 25. δὲ *in ras.*

ἀμέτρῳ λατρεύουσαι, οὐ μὴν δὲ ἀλλὰ καὶ τὸν νοῦν αὐτῶν ἐπὶ τὰ ἔξωθεν ὡς τὰ πολλὰ σκεδαννύμενον καὶ διαχεόμενον εἰς ἑαυτὸν ἐπανιέναι πάλιν ποιοῦσαι καὶ τῇ διανοίᾳ μόνῃ ἐφιστῶσαι τῶν ᾀδομένων καὶ ψαλλομένων, δι' ὧνπερ ἐκεῖνος εἰς τὴν περὶ Θεοῦ ἔννοιαν καλῶς ἀναβαίνειν καὶ τῷ ἐκεῖθεν ἀποπαλλομένῳ λαμπροτάτῳ φωτὶ περιλάμπεσθαι καὶ ἐλλάμπεσθαι καὶ γλυκαίνεσθαι καὶ ἡδύνεσθαι δύναται. Εἰ γὰρ μὴ οὕτως ἐνταῦθα αἱ τῆς ἐκκλησίας ὑμεῖς παρασταίητε τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν, πῶς ἀκούειν δυνήσεσθε ὡς καὶ πρὸς ὑμᾶς εἶναι ἁρμόζον καὶ πρὸς ὑμᾶς ἔχον |64| οἰκείως τό· ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε· ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε· ψάλατε συνετῶς.

57. Πῶς δὲ καὶ ὡς γλυκέα τῷ λάρυγγι ὑμῶν καὶ ὑπὲρ μέλι καὶ κηρίον τὰ τοῦ κυρίου μου λόγια ἔσονται; πῶς δὲ πάλιν καὶ ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολὺν καὶ ὑπὲρ χρυσίον καὶ τοπάζιον καὶ ὑπὲρ χιλιάδας ὑμῖν ταῦτα χρυσίου καὶ ἀργυρίου ἀληθῶς λογισθήσονται; πῶς δὲ ἐπακούσεται ὑμῶν ὁ Θεὸς καὶ πληρώσει τὰς αἰτήσεις ὑμῖν, αἰχμαλωτιζομένων οὕτω καὶ μετεωριζομένων καὶ ἄλλα μὲν φθεγγομένων ἐν γλώσσαις, |64ᵛ| ἕτερα δ' ἐν καρδίαις, καὶ διὰ τοῦτο μηδὲ αἰσθανομένων ὑμῶν, ᾧτινι καὶ παρίστασθε καὶ ᾧτινι ὁμιλεῖτε, μηδὲ τίνα εἰσὶν ἃ ὁμιλεῖτε καὶ ἅτινα ψάλλετε;

58. Πῶς δὲ καὶ ταῖς ἐξυπηρετούσαις καὶ διακονούσαις ὑμῖν ἀδελφαῖς καί γε διὰ τὴν ὑμετέραν ἀνάπαυσιν περισπωμέναις οὕτω καὶ φροντιζούσαις καὶ τῶν κοινῶν παρὰ τοῦτο συνάξεων καὶ εὐχῶν ἀπολιμπανομέναις ἐπαμῦναι δυνήσεσθε καὶ ἄφεσιν ἐκείναις τῶν οἰκείων ἀγνοημάτων παρὰ Θεοῦ ἐξαιτήσεσθέ τε καὶ λήψεσθε; Πῶς δὲ καὶ πᾶσι τοῖς ἄλλοις, ὅσοι δή φημι τὰς |65| ὑμετέρας εὐχὰς ὡς ἁγίων εὐχὰς εἰς οἰκείαν βοήθειαν ἐξαιτοῦνται, καὶ σωτηρίαν ἐπαμυνεῖτε κατά γε τὰς ἐλπίδας ἐκείνων καὶ βοηθήσετε; Μᾶλλον δὲ πῶς οὐ παροξυνοῦμεν Θεόν, πῶς οὐχὶ καὶ καθ' ἑαυτῶν εἰς ὀργὴν ἐκεῖνον ἐξεγεροῦμεν καὶ ἀγανάκτησιν, εἰ μὴ οὕτως, ὡς εἶπον, ἀλλ' ἠμελημένως ἄγαν τῶν τετυπωμένων ὕμνων ἐφάπτοισθε, ὅτι καὶ « ἐπικα-

---

9. Psalm. 46, 7. — 12. Psalm. 118, 103; 18, 11. — 13. Psalm. 18, 11.

7. ἐκκλησίαις *cod.* | 9. ψάλλατε *cod.*

τάρατος πᾶς ὁ ποιῶν τὸ ἔργον τοῦ κυρίου αὐτοῦ ἀμελῶς » τῆς ἱερᾶς γραφῆς λεγούσης ἀκούομεν.

59. Ἵν' οὖν μὴ οὕτως ὑμῖν γένηται ταῦτα, γένηται δὲ μᾶλλον ὥστε καὶ τὴν ἄνωθεν τοῦ κρείττονος χάριν |65ᵛ| ὑπὲρ ἑαυτῶν ἑλκύσαι καὶ τῶν ὑμετέρων μελῶν τε καὶ ἀδελφῶν, ὅσαι δηλαδὴ διακονοῦσαι ὑπὲρ ὑμῶν καὶ τὴν ἑαυτῶν σωτηρίαν τῶν ὑμετέρων ἐξαρτήσασαι καὶ ἀνάψασαι προσευχῶν ἅπαντα ὑποφέρουσι πόνον καὶ κάματον δι' ὑμᾶς, διανοίξητε δὲ καὶ τὰ θεῖα καὶ μεγάλα σπλάγχνα καὶ ἄλλοις ὑπὲρ ὧν καὶ τὰς ἱκεσίας καὶ τὰς ἐντεύξεις καθ' ἑκάστην προσφέρετε πανευλαβῶς, νηφαλίως τε καὶ ἀνδρείως, ὡς ἔγωγε φθάσασα εἴρηκα, τὰς νενομισμένας ἐκτελεῖτε συνάξεις καὶ τῆς εἰς τὸ θεῖον δοξολογίας καὶ ὑ|66|μνολογίας οὕτως ἐξέχεσθε, στρέφουσαι ὅλον τὸν νοῦν ἀπὸ τῆς εἰς τὰ ἔξω παριπλανήσεως ἐπὶ τὰ ἔνδον τῆς καρδίας ταμεῖα καὶ τὸν Θεὸν ἐκεῖσε διὰ καθαρᾶς προσευχῆς καὶ ἀδιακόπου μόνον οὐκ ἀναπνέουσαι καὶ οὕτως ἑαυταῖς τε καὶ ταῖς ἑαυτῶν ἀδελφαῖς τὰ μέγιστα χαριζόμεναι καὶ τὴν σωτηρίαν ἐμπόνως οὕτως ὑμῶν τε καὶ αὐτῶν ἐργαζόμεναι.

θ'.

Πῶς καὶ αἱ ἐκτὸς τῆς ἐκκλησίας ἐν ταῖς ἄλλαις διακονίαις τεταγμέναι τῶν ἀδελφῶν περὶ τὰς καθημερινὰς τῆς ἐκκλησίας συνάξεις διατεθήσονται καὶ πῶς ἐν αὐταῖς ἀπαντήσουσιν.

60. Αἱ μὲν οὖν ἐκκλησιαστικαὶ αὗται οὕτως ἄρα τὰ ἑαυτῶν ἐκτελέσουσι καὶ οὕτω πως τῆς καθαρᾶς καὶ ἱερᾶς διακονίας ταύτης |66ᵛ| ἀνθέξονται. Ὑμεῖς δὲ αἱ ἐν ταῖς σωματικωτέραις πάλιν οὖσαι διακονίαις καὶ ταύταις τῷ πλείονι μέρει τοῦ χρόνου προσασχολούμεναι οὐκ ἀεὶ διὰ τοῦθ' ἑαυτὰς τῶν διατετυπωμένων συνάξεων ἀποστήσετε οὐδὲ πόρρωθεν μόνον τοῦ κυρίου τὸν ἅγιον οἶκον καὶ τὰς θείας αὐλὰς αὐτοῦ ὄψεσθε οὐδὲ πόρρωθεν μόνον τῶν ἱερῶν ᾀδομένων

1. Ierem. 31, 10.

22. ἀπατήσουσιν *cod.* | 28. (τοῦ — πόρρωθεν) *add. corr. supra lin.*

ὕμνων ἐπακροάσεσθε· ἀλλ' ἡνίκα μὲν ταῖς ὑμετέραις καιρὸς προσασχολεῖσθαι διακονίαις, τοῦτ' αὐτὸ ποιήσετε παντὸς προτιμότερον, τὸ ὑμέτερον ἔργον, τὸ ὑμέτερόν φημι διακόνημα· πλὴν καὶ τότε τὰς μὲν χεῖρας εἰς τὴν ἐργασίαν τῶν ἔργων κινήσετε, |67| τὸν δὲ νοῦν ὑμῶν ἰδίως εἰς εὐχάς τινας τρέψετε καὶ ταύταις δὴ ταῖς εὐχαῖς 5 ὥσπερ ἅλατι τὰς ἐργασίας ὑμῶν παραρτύσετε, αὐτὰ δὲ ὑμῖν ἐπὶ λέξεως τῶν εὐχῶν τούτων τὰ ῥήματα ἔστωσαν· « Κύριε Ἰησοῦ Χριστέ, υἱὲ τοῦ Θεοῦ, ἱλάσθητί μοι τῇ ἁμαρτωλῷ· ἤ· Κύριε Ἰησοῦ Χριστέ, υἱὲ τοῦ Θεοῦ, ἐλέησόν με τὴν ἁμαρτωλόν· ἤ· Κύριε Ἰησοῦ Χριστέ, υἱὲ τοῦ Θεοῦ, βοήθησόν μοι τῇ ταλαιπώρῳ καὶ ἀσθενεῖ. » Ταῦτα 10 βραχέα μὲν καὶ συνήθη τὰ ῥήματα, πολυωφελῆ δὲ ἄλλως καὶ πολυδύναμα καὶ σχεδὸν ἁπασῶν τῶν εὐχῶν τὴν δύναμιν ἐν ἑαυτοῖς περιφέροντα. Ταῦτα καὶ πάντες διὰ παντὸς προσεύχεσθαι τὰ ῥήματα χρήζουσιν ἄνθρωποι, κἂν |67ᵛ| ἁμαρτωλοὶ εἶεν οὗτοι κἂν δίκαιοι, ὅτι καὶ πάντες τοῦ θείου ἐλέους δεόμεθα, ὅτι καὶ πάντες ὡς ἐπιδεεῖς 15 τῶν θείων καὶ ἄποροι τῆς ἄνωθεν χάριτος ἀναγκαιότατα χρήζομεν. Καὶ οὕτω μὲν ποιήσετε καὶ οὕτω διατεθήσεσθε ὑμεῖς, τὰ ἔργα ἔχουσαι ἐν χεροῖν.

61. Ἡνίκα δὲ πάλιν σχολὴν ἄγοιτε καὶ ἐκεχειρίαν ἀπὸ τῶν ἔργων ὑμῶν παντελῆ, καὶ σύναξις ἀπαντήσειε καὶ τὸ τῆς ἱερᾶς 20 συνάξεως ξύλον κρουσθείη, τὰς ἀδελφὰς μετακαλούμενον εἰς τὴν σύναξιν, τότε δὴ τότε, καθαπερεί τινες ἔλαφοι διψητικαὶ καὶ ὑμεῖς ὡς ἐπὶ καθαρὰς ὑδάτων πηγὰς καὶ ποτίμους ἐπὶ τὰς θείας φθάσαι αὐλὰς ὅτι τάχος |68| ἐπείγεσθε, ψάλλουσαι καθ' ἑαυτὰς ἐν ὁδῷ καὶ τὰς δαυϊτικὰς ἐκείνας καὶ ἁγίας φωνάς· ηὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι· 25 εἰς οἶκον κυρίου πορευσώμεθα· ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου· προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου· ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, κύριε τῶν δυνάμεων, ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ κυρίου· ἡ καρδία μου καὶ ἡ σάρξ μου, ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα. Ἐξελεξάμην παραρριπτεῖσθαι ἐν 30 τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν

---

22. Psalm. 41, 2, 3. — 25. Psalm. 121, 1. — 26. Psalm. 5, 8. — 27. Psalm. 83, 2, 3. — 30. Psalm. 83, 11.

8. μοι *corr. supra lin.* | 27. φο *in marg. corr.*

καὶ |68ᵛ| κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας, καὶ ὅσαπερ οἴδατε ἄλλα τοιαῦτα.

62. Φθάνουσαι δὲ οὕτως εἰς τὸ μέγα καὶ ἅγιον τέμενος τοῦ Θεοῦ καὶ μετὰ τῆς λοιπῆς συνοδίας ἐκεῖσε ἱστάμεναι, ὡς τὸν Θεὸν αὐτὸν
5 ὁρῶσαι πρὸ ὀφθαλμῶν, οὕτως ἀγωνίζεσθε· ἵστασθε μετὰ φρίκης καὶ τρόμου πολλοῦ δηλαδὴ συντριβόμεναι, ἐπὶ ταῖς ὑμετέραις ἁμαρτίαις κατανυσσόμεναι καὶ δακρύουσαι δι' ἅσπερ δὴ καὶ ὑμεῖς ὡς ἄνθρωποι καὶ τοῖς ἀνθρωπίνοις πάθεσιν ὑποκείμεναι αὐτῷ προσκεκρούκατε· κἂν μὲν γινώσκουσαι γράμματα τύχητε, ᾄσετε |69| καὶ καρδίᾳ καὶ
10 στόματι, ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς τὸν ἑαυτῶν καὶ δεσπότην καὶ πλάστην καὶ νυμφίον γεραίρουσαι· εἰ δὲ γραμμάτων ἄπειροι παντάπασιν εἴητε, προσεύξεσθε καὶ οὕτως ὑμεῖς ἐξ ἀνάγκης τὰ βραχυσύλλαβα ἐκεῖνα καὶ μεγαλοδύναμα προσευχόμεναι ῥήματα, ἃ δὴ καὶ ἀντὶ πάσης ἄλλης εὐχῆς, μᾶλλον δὲ καὶ ὑπὲρ πᾶσαν ἄλλην
15 εὐχήν, εὖ οἶδ' ὅτι παρὰ τῷ Θεῷ λογισθήσεται· μόνον, εἰ καιρὸν ἀδείας ἔχουσαι ταῖς ἄλλαις ὑμῶν ἀδελφαῖς καὶ ὑμεῖς ὡς εἴρηκα συνεπείγοισθε καὶ ἐκείναις ὁμοίως |69ᵛ| τῷ Θεῷ παριστάνοιτε, μηδέν τι ὅλως ἐν τοῖς τοιούτοις καιροῖς διὰ τῶν χειρῶν ἐργαζόμεναι· ἀδιαλείπτως μὲν γὰρ προσεύχεσθαι κατὰ τὴν μεγάλην τοῦ ἀποστόλου
20 παραίνεσιν καὶ ἐργαζομένας καὶ μὴ ἐργαζομένας κατὰ πάντα τε καιρὸν καὶ ἐν τόπῳ παντὶ διὰ προσευχῆς προσομιλεῖν ὑμᾶς τῷ Θεῷ καὶ πάντα ποιεῖν ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ, καθὼς καὶ τοῦτο ποιεῖν παρελάβομεν, ἄριστον καὶ σωτηριωδέστατον καὶ ἡμεῖς οὕτω καὶ ἐν ὑμῖν ἀεὶ γίνεσθαι ἐπιτρέπομεν.

25 63. Ἐργάζεσθαι δὲ καὶ ἐν ταῖς ἀνατεθειμέναις καὶ ἀφιερωμέναις ὥραις ἰδικῶς τῷ Θεῷ καὶ συμμερίζειν καὶ ταύτας τοῖς σαρκικοῖς |70| καὶ δυσὶ κυρίοις δουλεύειν πειρᾶσθαι, Θεῷ τε ἅμα καὶ ἐργοχείρῳ, ταὐτὸν δ' εἰπεῖν Θεῷ τε ἅμα καὶ μαμωνᾷ, τοῦτο οὔτε σωτήριον οὔθ' ἡμεῖς οὐδ' ὁτιοῦν ἐπιτρέπομεν, μᾶλλον μὲν οὖν καὶ παντάπασιν ἀφ'
30 ὑμῶν ἀποτρέπουσαι ὅλῃ τῇ χειρὶ ἀποπέμπομεν· πῶς γὰρ ἂν ὑμεῖς τότε καθαρῶς προσεύξεσθε τῷ Θεῷ; πῶς προσέξετε τοῖς ψαλλομένοις

---

1. Psalm. 83, 11. — 19. 1 Thess. 5, 17. — 27. Matth. 6, 24.

22. τοῦτο *partim in ras.* | 23. ὑμεῖς *cod.*

καὶ τοῖς ᾀδομένοις τὸν νοῦν, τοῦτον ἔχουσαι τῇ τῶν χειρῶν ἐργασίᾳ προσέχοντα; πῶς δὲ καὶ τὰς χεῖρας εἰς Θεὸν ἀνατεῖναι δυνήσεσθε, τοῦ ἐκκλησιαστικοῦ τύπου κελεύοντος τοῦτο |70ᵛ| ποιεῖν, ἀναγκαίως τῷ ἐργοχείρῳ κατέχουσαι ταύτας ἐνδεδεμένας καὶ στερρῶς γε ταύτας κατέχουσαι; Διὰ τοῦτο οὐδ' ὁτιοῦν ὑμεῖς ποτε ἐν τῇ ἐκκλησιαστικῇ 5 συνάξει ἐργάσεσθε, ταῖς προσευχαῖς δὲ μόναις καὶ ταῖς ψαλμῳδίαις ἀμετεωρίστως προσέξετε.

64. Εἰ ταῦτα πράττοιτε, εἰ οὕτω καθ' ἡμέραν διάγοιτε, ἕξετε μὲν ἀοράτως, εὖ ἴστε, κἂν ἀπῆτε τῷ σώματι, καὶ τὸν ἀπὸ τῶν ἱερῶν συνάξεων τούτων ἁγιασμὸν καὶ τὴν χάριν, ἃ δὴ καὶ ἀδιστάκ- 10 τως παρὰ Θεοῦ ἄνωθεν τοῖς μετὰ πόθου καὶ φόβου πολλοῦ παραβάλλουσιν ἐν τοῖς ἱεροῖς καὶ θείοις |71| ναοῖς καταπέμπεται, συμμερίσετε δ' ἅμα ταῖς ὑμετέραις ἀδελφαῖς καὶ τὸν ἐκεῖθεν ἐκείνων οὐκ ὀλίγον μισθὸν καὶ τὴν ἐκεῖθεν ἐκείνων μεγάλην ὠφέλειαν· εἰ δὲ μὴ οὕτω διάγοιτε ὡς εἰρήκαμεν, μάτην δὲ μᾶλλον ἀναλίσκουσαι τὸν καιρὸν 15 τῆς ἀδείας ἡμελημένως ἀνάκεισθε ματαίαις τε πρόσκεισθε ἀσχολίαις καὶ λογισμοῖς ἐπιβλαβέσι σχολάζοιτε, καὶ ταῦθ' ὑγιαίνουσαι καὶ ταῦτ' ἐκτὸς τῶν ἔργων τῶν κοινῶν εὑρισκόμεναι, ὃ καὶ πασῶν ἀπείη ὑμῶν, οὐκ οἶδα πῶς τῶν ἀγαθῶν ἐκείνων ταῖς ἀδελφαῖς ὑμῶν δικαίως ὑμεῖς συμμεθέξετε. 20

ι'.

|71ᵛ| Πῶς μετελεύσεται ἡ ἀφηγουμένη τὰς ἀμελεῖς καὶ διὰ τίνος τῶν ἀδελφῶν τὴν ἀδιαφορίαν ἐκ τοῦ μέσου ποιήσασθαι ἀγωνίσεται.

65. Ἀλλ' ἐπειδὴ τὸ οὕτως ἡμελημένως ἀδιαφόρως τε καὶ ἀτάκτως 25 τινὰς διάγειν ἐν μέσῃ τῇ ἀδελφότητι οὐκ εἰς οἰκοδομὴν ἀλλ' εἰς σκάνδαλον, οὐκ ἀκίνδυνον ἔσται τῇ προεστώσῃ, τὸν περὶ τῶν ὅλων λόγον ἀποδοῦναι ἐνεχομένῃ, καὶ μάλιστα εἰ, τῆς ἀδιαφορίας πραττούσης τὰ ἑαυτῆς, σιγῴη ἐκείνη, οὐμενοῦν κατ' ἄγνοιαν ἀλλ' ὅτι κολακείας λόγῳ συμπεριφέρεται τοῖς ἑκάστης κακοῖς ὑπὲρ τοῦ πραεῖά τις τάχα καὶ 30

---

11. πόθ *in ras.* | 14. ἶδε *cod.* | 18. ἀπήει *cod.*

κεχαρισμένη φαίνεσθαι |72| πάσαις, ἀναγκαιοτάτα φροντιεῖ ταύτην δὴ τὴν ἀδιαφορίαν εἴτουν ἀταξίαν τὸν ὄκνον θ' ὁμοῦ καὶ τὴν ῥαθυμίαν ὡς ἐνῆν διορθώσασθαι, διορθώσεται δέ, ἐὰν μὴ παρερχομένη καὶ παρορῶσα παρόψηται καὶ παρέλθῃ, ἀτιμωρήτους τὰς τούτοις κηθ' ἑαυτῶν τοῖς
5 παθήμασι, λέγω δὴ τῇ ἀμελείᾳ αὐτῇ καὶ τῷ ὄκνῳ χρωμένας τῶν ἀδελφῶν, ἀλλὰ νῦν μὲν γονυκλισίαις, νῦν δ' αὖ ἀσιτίᾳ, νῦν δὲ ὑδροποσίᾳ μόνῃ, ἔστι δ' ὅτε καὶ ἀγρυπνίᾳ ὁμοῦ δὲ καὶ στάσει καὶ ἄλλοτε ἄλλοις καταλλήλοις τοῖς πταίσμασι φαρμάκοις χρωμένη, καὶ τοῦτο εὐσπλάγχνως, καὶ τοῦτο μετὰ μητρικῆς διαθέσεως, ἐκείνας παιδεύσῃ
10 |72ᵛ| καὶ τιμωρήσηται· οὐ τὰς ἀμελεῖς δὲ καὶ ῥαθυμίᾳ συνεχομένας μόνας οὕτως ἡ τὴν κοινὴν φροντίδα τῶν ὅλων πεπιστευμένη ξυμφερόντως παιδεύσει καὶ τιμωρήσεται, ἀλλὰ δὴ καὶ τὰς ἄλλας πάσας, ὅσαι δηλαδὴ εἰς ἀκαίρους ὁμοῦ καὶ ἀτόπους ὁμιλίας ἀλλήλαις συνίασι κἀκεῖνα τὰ ἀργὰ καὶ ἀνόνητα προάγονται προσομιλεῖν καὶ προσλα-
15 λεῖν, ἃ ταῖς ἐκείνων ψυχαῖς πολλῆς καὶ μεγάλης ζημίας καὶ βλάβης παραίτια γίνονται.

66. Ταύτῃ τοι καὶ οὐχ ἕξει τις τὸ παράπαν ἐξουσίαν καὶ ἄδειαν ἐν ὑμῖν, οὐδὲ μίαν ἀπὸ τῶν ἐν χερσὶν |73| ἀργίαν ἄγουσα ἔργων, ἀκαίρως καὶ χρείας ἐκτὸς καὶ γνώμης δίχα τῆς διδασκάλου συνελθεῖν
20 εἰς ὁμιλίαν ἔξω τῆς κέλλης ἑτέρᾳ καὶ λαλεῖν περὶ τῶν μὴ ἀνηκόντων αὐταῖς ἢ παραβαλεῖν ἑτέρᾳ, ἴσως ἑαυτῇ προσεχούσῃ μόνῃ καὶ τῷ Θεῷ κατὰ τὴν κέλλαν αὐτῆς, κἀντεῦθεν ἀπασχολῆσαι ταύτην ἀπὸ τῆς ἐπαινετῆς ἐργασίας αὐτῆς, ἀλλ' οὐδὲ βαδίζειν ἐν τῷ μέσῳ παρὰ τὴν χρείαν ἢ ἵστασθαι ἢ καθέζεσθαι δίχα τῆς χρείας κατὰ τὸ μέσον ἤ τι
25 ἄλλο τῶν μὴ χρησίμων μηδ' ὠφελούντων ποιεῖν |73ᵛ| καὶ βλάπτειν μὲν ἑαυτὴν τὰ μεγάλα, σκανδαλίζειν δ' ἀκαίρως καὶ τὴν ἑαυτῇ νηφαλίως προσέχουσαν· ἀλλ' ἑκάστη μὴ ἔχουσα ἐν χερσὶ τὸ ἀνακείμενον ἔργον τῆς ἰδίας διακονίας, τῷ οἰκείῳ μόνῳ σχολάσει καὶ προσέξει κελλίῳ κἀκεῖσε οὖσα καὶ ἡσύχως ἐν ἑαυτῇ ἱσταμένη ἢ
30 προσεύξεται ἢ ψαλμῳδήσει ἢ ἀναγνώσεται γραμμάτων ἔχουσα πεῖραν ἢ καὶ ἐργάσεται, πλήν τι κοινὸν ἐργάσεται, ἀλλ' οὐκ ἴδιον· οὐ γὰρ ἐφεῖται οὐδὲ μέχρι τῆς ἐρίου σειρᾶς αὐτῆς τοῦτό γε οὐδὲ μιᾷ ποιεῖν.

---

9. τοῦτο *partim in ras.*

ὁπηνίκα καὶ τὰς |74| μὲν χεῖρας τῆς ἐργαζομένης ἡ ποίησις ἕξει πάντως τοῦ ἔργου, τὴν δ' ἔννοιαν ταύτης πάλιν ἡ προσευχή.

67. Ταῦτα παράδοσις ἄνωθεν πατρική, ταῦτα κανὼν τῆς ἀκριβείας καὶ τῆς σεμνότητος ἀτεχνῶς τοῦ σχήματος ἡμῶν καὶ τοῦ ἐπαγγέλματος· καὶ εἴ τινες ὑμῶν τῷ κανόνι προσέχουσαι τούτῳ στοιχήσουσι, πᾶσαι δὲ στοιχοῦσαι καὶ προσέχουσαι γένοισθε, εἰρήνη ὄντως ἐπ' αὐτὰς καὶ Θεοῦ εὐλογία καὶ χάρις καὶ ἔλεος ἔσεται· ταῦτα δὲ οὕτως ἔσεται πάντως καὶ ἐξωσθήσεται μὲν τοῦ μέσου ὑμῶν |74ᵛ| ἡ ἀδιαφορία τελείως, ἐπανακληθήσεται δὲ πάλιν ἡ τοῦ σχήματος ἡμῶν σεμνότης καὶ ἡ εὐλάβεια, ἐὰν μία τις ἀφ' ὑμῶν ἐκλεγῇ παρὰ τῆς προεστώσης καὶ τῶν κρειττόνων αὐτῶν ἢ καὶ πασῶν, οὐ μόνον εὐλαβείας εἴπερ τινὸς ἀντιποιουμένη καὶ τῇ ἰδίᾳ σωτηρίᾳ προσέχουσα, ἀλλὰ καὶ πρὸς αὐτὸ τὸ γῆρας παραγγέλλουσα ἤδη, καὶ ἐκλεγεῖσα ἡ τοιαύτη τοῦτον τὸν τρόπον εἰς αὐτό γε τοῦτο τεθῇ, εἰς τὸ ἔχειν πάντως ἔμμονον ἔργον καὶ ἀγρύπνως τούτου φροντίζειν, ὥστε ἐπιτηρεῖν καὶ προσέχειν |75| παντοίως καὶ νυκτὸς ἐπισκοπεῖν καὶ ἡμέρας, ποῦ τε καὶ ὅπως ἑκάστη τῶν ἀτελεστέρων καὶ τῶν προσοχῆς καὶ ἀσφαλείας πλείονος μάλιστα δεομένων τὴν ἑαυτῶν σωτηρίαν ἐργάζονται· ἥτις καὶ ἃ μὲν δύναται διορθοῦν, καὶ ἀφ' ἑαυτῆς διορθώσεται, ἃ δὲ μὴ δύναται, τῇ κοινῇ διδασκάλῳ τῶν ὅλων ἐκεῖνα ἀναγγελεῖ· κἀκείνη πάντως μελήσει, πῶς ποτε καὶ κεράσει καὶ προσοίσει τῇ ἀρρωστούσῃ τὰ σωτήρια τῆς διορθώσεως φάρμακα· οὐ γὰρ περιόψεται πάσχουσαν ταύτην μήτηρ οὖσα ἐκείνη ἐν πνεύματι, ὅτι μηδὲ μήτηρ ἡ κατὰ σάρκα |75ᵛ| περιορᾶν τὸ ἑαυτῆς ἀνέχεται τέκνον, μέλλον ἤδη κατολισθαίνειν εἰς βόθυνον ἢ κατολισθῆσαν ἐναφιέναι τῷ ὀλισθήματι· πῶς δὲ καὶ ἄλλως περιόψεσθαι τὴν ἀσθενοῦσαν ἀνέξεται ἡ διδάσκαλος, ἥτις ὁμειρομένη αὐτῆς ἀποστολικῶς εὐδοκεῖ μεταδοῦναι οὐ μόνον τὸν λόγον καὶ τὸ εὐαγγέλιον τοῦ Θεοῦ, ἀλλὰ καὶ αὐτὴν τὴν ἰδίαν ψυχήν; καὶ τούτων μὲν ἅλις.

---

27. 1 Thess. 2, 8.

6. προσέχουσαι *partim in ras.* | 15. εἰς τὸ *in ras.*

ια'.

Τίς ἡ διάκονος τοῦ κοινοῦ δοχείου καὶ ἐπιστάτις καὶ τί ποτέ ἐστι τὸ ἔργον αὐτῆς.

68. Ὥρα δ' ἂν εἴη λοιπὸν καὶ περὶ τῶν |76| ἐπιλοίπων διακόνων καὶ τῶν κατ' αὐτὰς διακονιῶν διατυπῶσαι καὶ διατάξασθαι, ἵνα μηδέν τι τῶν ἀτάκτων εἴη ἐν τῇ μονῇ, μηδὲν ἀτύπωτον, μηδὲν ἀκανόνιστον. Καὶ τοίνυν ἔσεται τῇ μονῇ καὶ ἑτέρα χρειώδης καὶ ἀναγκαίως χρειώδης διάκονος, ἥτις δηλαδὴ τὸ κοινὸν διοικήσει φρονίμως ἐπιστατοῦσα δοχεῖον, ὁμοῦ μὲν θεοφιλὴς καὶ τὸν κύριον φοβουμένη, ὁμοῦ δὲ καὶ ἡμερότητι καὶ ταπεινοφροσύνῃ πολλῇ τὸ ἦθος ἔχουσα κεκραμένον εὐόμιλός τε οὖσα ὡς τὰ πολλὰ καὶ τοῖς πᾶσιν εὐπρόσιτος, ὁμοῦ δὲ |76'| καὶ τὰ ἐμπεπιστευμένα σὺν πολλῇ συνέσει καὶ ἀσφαλείᾳ φυλάττουσα· αὕτη δέξεται μὲν περιβόλαια καὶ χιτώνια πάντα, ὁμοῦ δὲ καὶ ὑποδήσεις τὰς πάσας, δέξεται δὲ καὶ σκεπάσματα καὶ τὰς ὑποστρώσεις αὐτῶν, δέξεται καὶ πᾶσαν ἑτέραν ὕλην, ἧς ἐν χρείᾳ πάντως ὑμεῖς ἔσεσθε· καὶ τὰς ὀπώρας δὲ πάσας αὐτὴ δέξεται. Ταῦτα δέξεται μὲν ἡ τοιαύτη τὰ πάντα, ὅταν ἔξωθέν ποθεν ἥκοντα καταλάβῃ ἐκεῖνα, καὶ τηρήσειε δεξαμένη τὰ πάντα μετ' ἀκριβείας, συνειδυίας μὲν καὶ τῆς ἀφηγουμένης, συνειδότος δὲ καὶ τοῦ χοροῦ τῶν κρειττόνων ὑμῶν· χορηγήσει δὲ |77| οὐκ ἄλλως ἢ ὡς ἡ κοινὴ διακρινεῖ καὶ προστάξει διδάσκαλος. Καὶ τοιαύτη μέν, ἥτις τοῦ κοινοῦ δοχείου ἐπιστατήσει.

ιβ'.

Τίς ἡ διάκονος τοῦ κελλαρίου καὶ ἐπιστάτις καὶ τί ποτέ ἐστι τὸ ἔργον τῆς διακονίας αὐτῆς.

69. Τοιαύτη δὲ παραπλησίως τὰ ἤθη τε καὶ τοὺς τρόπους καὶ ἡ τοῦ κελλαρίου ἔσεται ἐπιστάτις, φυλάττουσα μὲν καὶ ὁπόσα ὑμῖν εἰς βρῶσιν προτίθεται, φυλάττουσα δὲ ἡ αὐτὴ καὶ τὸν οἶνον, εἰ τύχοι ὑμῖν· ἥτις δῆτα καὶ ἀπὸ τούτων καθ' ἡμέραν πάντως ταῖς

ἀδελφαῖς ἀναλόγως καὶ ὡς ὁ καιρὸς ἀπαιτεῖ κοσμήσει |77ᵛ| καὶ ἑτοιμάσει καὶ παραθήσει τῆς κοινῆς τραπέζης τὴν δίαιταν. Ταύτῃ καὶ ἕτεραι τῶν ἀδελφῶν συμπαροῦσαι συνεργοὶ ἔσονται εἰς τὴν διακονίαν αὐτῆς· συνεργήσουσι δὲ ἐξ ἀνάγκης ἥ γε ἐν τῇ τραπέζῃ παρισταμένη καὶ ἐξυπηρετοῦσα ταῖς ἀδελφαῖς καὶ τὰ μὲν παρατιθεμένη, τὰ δὲ πάλιν ἀναλαμβάνουσα τἄλλα τε δρῶσα, ὅσα εἰς τὴν τῶν καθημένων ἐν τῇ τραπέζῃ καὶ εὐαρέστησίν ἐστι καὶ ἀνάπαυσιν.

70. Οὐκ αὐτὴ δὲ μόνη συνεργὸς συμπαρέσται, ἀλλὰ καὶ ὅσαις ἔργον τὸν κοινὸν ἄρτον οἰκονομεῖν καὶ ποιεῖν· οὐ μὴν δὲ ἀλλὰ καὶ ἥτις |78| τῷ τοῦ μαγειρείου προσανέχει διακονήματι· ὧν αἱ μὲν τὸν σῖτον, ἡ δὲ τὰ ἐδώδιμα ἀπὸ τῆς ἐν τῷ κελλαρίῳ ἐπιστατούσης πρὸς τὴν χρείαν λαβοῦσαι συνήθως καὶ πᾶν τὸ ἀναγκαῖον ἐπ' αὐτοῖς ποιησάμεναι καὶ προσῆκον πάλιν τῇ αὐτῇ ἀποδώσουσι τὰ ληφθέντα καὶ ἕτοιμα καὶ ἀζήμια. Ἡ ἐπὶ τοῦ κελλαρίου δὲ αὕτη πολλὴν ποιήσεται πρόνοιαν, ὥστε φυλάξαι πρὸς πάσας ἐξ ἴσου τὸ εὔσπλαγχνον καὶ μακρόθυμον καὶ ὥστε μηδέν τι κατὰ φιλονεικίας πάθος ποιῆσαι ἢ κατὰ πρόσκλισιν εἴτουν |78ᵛ| προσπάθειαν, ὡς τὰς μὲν τῆς χρείας ἀποστερεῖν πρὸς ἅσπερ ἂν φιλονείκως ἔχοι τῆς ἀναγκαίας, ταῖς δὲ προστιθέναι καὶ τῆς ἀναγκαίας χρείας ἐπέκεινα, αἷς ἂν ᾖ δηλονότι προσκλίνουσα καὶ προσπάσχουσα· ὧν τὸ μὲν μισαδελφίας, τὸ δὲ προσπαθείας πάλιν τῆς μάλιστα ἀπηγορευμένης ἔργον ἐστίν, ἐξ ὧν ὁ μὲν τῆς ἀγάπης καὶ τῆς συμπνοίας σύνδεσμος ἀποτέμνεται, ὑπόνοιαι δὲ πονηραὶ καὶ ζῆλοι καὶ ἔριδες καὶ πρὸς τὰς ἐργασίας ἀμέλειαι ἀντεισέρχονται· οὐ τοῦτο δὲ μόνον διὰ φροντίδος |79| ὅτι πολλῆς καὶ προνοίας ποιήσεται, ἀλλ' ὥστε καὶ ἑαυτῇ τηρῆσαι τὸ περὶ τὴν δίαιταν ἐγκρατὲς καὶ ὥστε ἰσότητος νόμῳ καὶ τῷ ὄψῳ εἰς βρῶσιν καὶ τῷ οἴνῳ εἰς πόσιν ὁμοίως ταῖς πάσαις ὑμῖν χρήσασθαι, ἀλλὰ μὴ μᾶλλον τὸ πλέον καὶ τὸ κρεῖττον ἐν τούτοις ἑαυτῇ οὐ φρονίμως χαρίσασθαι.

71. Τοῦτο δὲ οὐκ ἄλλως οὔτ' αὐτὴ οὔτ' ἄλλη τις διάκονος ἐν ὑμῖν κατορθώσει, ὀφειλουσῶν κατορθῶσαι ἀπαραιτήτως ὑμῶν γε τοῦτ' αὐτὸ ἁπασῶν, εἰ μὴ τοιαύτην διάθεσιν καὶ |79ᵛ| τοιαύτην αἱ πᾶσαι

---

15. ἐξίσου *cod.* | 30. οὔτ' αὐτὴ *bis scriptum cod.*

ἀναλάβοιεν ἔννοιαν, ὥστε λογίζεσθαι μὴ ἀνθρώποις μᾶλλον ἐξυπηρετεῖσθαι καὶ διακονεῖν, αὐτῷ δεσπότῃ τῶν ὅλων καὶ σωτῆρι Χριστῷ τῷ φιλαγάθως μὲν ἀναδεχομένῳ εἰς ἑαυτὸν τὴν εἰς τὰς ὑμετέρας ἀδελφὰς γινομένην τιμὴν καὶ σπουδὴν καὶ ὑπηρεσίαν καὶ ἀνάπαυσιν
5 παρ' αὐτῶν, φιλαγάθως δὲ καὶ βασιλείας οὐρανίου κληρονομίαν ἐπαγγελλομένῳ ἀντὶ τούτων αὐταῖς· δεῦτε, γάρ φησιν, οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου, ὅτι ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων |80| τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε.

10 ιγ'.

Τίς ἡ φρουρὸς τοῦ μοναστηρίου καὶ πυλωρὸς καὶ τί ποτέ ἐστι τὸ ἔργον αὐτῆς.

72. Τὴν μέντοι πυλωρὸν τῆς μονῆς, ἀναγκαῖον γάρ μοι καὶ περὶ ταύτης εἰπεῖν, οὐ τὴν τυχοῦσαν ἐγκαθίστασθαι χρὴ ἀλλὰ τὴν
15 ἐπ' εὐλαβείᾳ μάλιστα καὶ φρονήσει καὶ πλέον σωφροσύνῃ μαρτυρουμένην ἐμβριθές τε ἅμα τὸ ἦθος καὶ βεβηκὸς καὶ στάσιμον κεκτημένην οὕτως, ὥστε καὶ ἀπὸ μόνου τοῦ θεαθῆναι τὰς ἀκαίρως καὶ τῆς χρείας ἄνευ ἐθελούσας προσεγγίζειν τῇ πύλῃ ὑπὸ τοῦ μετεώρου καὶ τοῦ ἀδιαφόρου λογισμοῦ |80ᵛ| ἀγομένας δύνασθαι ἐντρέπειν καὶ ποιεῖν
20 αἰδεῖσθαι καὶ ὑποχωρεῖν παραυτὰ καὶ συστέλλεσθαι· οὕτω τε γήρους ἔχειν, ὡς μήτε διὰ τὸ τῆς ἡλικίας νεάζον μᾶλλον δέεσθαι αὐτὴν ἀσφαλείας ἢ ἀσφαλίζειν ἑτέρας, μήτε διὰ τὸ γῆρας ἀμβλυτέραν εἶναι καὶ νωθεστέραν τῆς χρείας παρὰ πολύ τε τοῦ ὀφειλομένου καὶ δέοντος ὑστερίζουσαν· ἥτις ἄρα καὶ τὰς κλεῖς ἀπὸ τῆς ἀφηγουμένης λαμβά-
25 νουσα μὲν πρωΐας, ἀποδιδοῦσα δ' ἑσπέρας ἀπαραιτήτως ταύτας πάλιν αὐτῇ, τῇ φυλακῇ τῶν πυλῶν οὕτω προσέξει κεκλεισμένων κατὰ πάντα |81| τὸν χρόνον, ὡς μηδενὶ μηδ' ὅλως μήτε τῶν ἔσωθεν μήτε τῶν ἔξωθεν μήτ' ἐξιέναι μήτ' εἰσιέναι παραχωρεῖν, μὴ εἰδυίας

---

6. Matth. 25, 34. — 8. Matth. 25, 40.

28. τῆς *in ras.*

τῆς προεστώσης μηδ' ἐπιτρεπούσης τὴν ἔξοδον ἢ τὴν εἴσοδον· τότε μόνον μὴ ἐρωτῶσα ἀνοίξει, ὅτε τις χρεία τῶν ἀναγκαίων ἐξάγειν ἢ εἰσάγειν ἐπείγει τινὰ τῶν οἰκείων, ἀλλ' οὐμενοῦν τῶν τῆς μονῆς ἀλλοτρίων καὶ οἵτινες αὐτῇ μὴ γινώσκονται· πλὴν καὶ τοῦτο, τῆς ἡγουμένης ἅπαξ αὐτῇ προτρεψάσης οὕτω ποιεῖν. Ἀπαντῶντος δέ τινος ἔξωθεν καὶ εἰσιέναι ζητοῦντος, ἐρωτᾶν ὀφείλει πρῶτον ἡ πυ|81ᵛ|λωρὸς τὸν ἀπηντηκότα καὶ παρ' αὐτοῦ μανθάνειν, ὅστις τε εἴη καὶ ὅθεν ἥκει καὶ τίς ἡ τῆς ἀπαντήσεως αὐτοῦ καὶ τῆς παρουσίας αἰτία, εἶτα ἀναγγέλλειν μανθάνουσα κατὰ μέρος ταῦτα τῇ προεστώσῃ, εἶτα δὲ καὶ εἰσάγειν ἔνδον, ἐὰν τὴν εἴσοδον αὐτὴ ἐπιτρέπῃ, ἢ μὴ εἰσάγειν, ἐὰν ταύτην αὐτὴ ἀποτρέπῃ. Ταύτης δὲ οὕτω σῳζομένης ἐνταῦθα τῆς ἀσφαλείας, οὔτε τις κατὰ ψυχὴν ἀπαντήσει πάντως ζημία καὶ τῶν τῆς μονῆς οὐδέν τι κλοπῆς λόγῳ λαθὸν ἐκφορηθῆναι τὸ παράπαν δυνήσεται.

ιδ'.

|82| Πῶς ὀφείλει γίνεσθαι ἡ ἐκλογὴ τῶν τοιούτων διακονητριῶν.

73. Ἵνα δὲ μηδὲ ἐν τῇ ἐκλογῇ καὶ προκρίσει τῶν εἰς ταύτας μελλουσῶν τάττεσθαι τὰς διακονίας ἀπάδοντά τινα καὶ ξένα τῶν ἀποστολικῶν παραδόσεων δόξαιμεν ὁρᾶν, μετά γε κοινῆς ἐκλογῆς καὶ ψήφου κοινῆς ἑκάστην τῶν διακόνων εἰς τὴν ἁρμόζουσαν διακονίαν προάγεσθαι καὶ βουλόμεθα καὶ διαταττόμεθα, ὅτι καὶ ὁ ἅγιος ἐκεῖνος τῶν ἀποστόλων χορὸς ἐν ταῖς ἀρχαῖς τοῦ κηρύγματος τοὺς θαυμαστοὺς |82ᵛ| ἑπτὰ διακόνους εἰς τὰς χρείας τῶν πρώτως εἰς Χριστὸν πιστευσάντων ἐκλέξασθαι μέλλοντες καὶ τῇ διακονίᾳ ταύτῃ ἐγκαταστῆσαι οὐχ ἑαυτοῖς μᾶλλον ἢ τῷ πλήθει τὴν ἐκλογὴν ταύτην δὴ καὶ τὴν ψῆφον ἐπέτρεψαν· καὶ οὗτοι τοῖς κοινῇ ἐκλογῇ, ψήφῳ κοινῇ ἐπικλήσει τε κοινῇ καὶ εὐχῇ προκριθεῖσι τῶν ἄλλων τὰς ἱερὰς ἐπιθέμενοι χεῖρας καὶ τὴν ἄνωθεν ἐπιβοησάμενοι χάριν τοῦ πνεύματος, τῷ τῆς διακονίας αὐτοὺς ἐγκατέστησαν βαθμῷ τε καὶ τάγματι.

---

23. Act. 6, 3.

74. Ἐκλέξεσθε οὖν ἀπροσπαθῶς καὶ φιλονεικίας |85| καὶ ἔριδος ἁπάσης ἐκτὸς καὶ ψηφίσετε πρῶτον ὑμεῖς συναχθεῖσαι πᾶσαι ἐπὶ τὸ αὐτό, καλούσης τῆς χρείας· μετὰ δὲ τὴν οὕτω προβᾶσαν ἐκλογήν τε καὶ ψῆφον εἰσελεύσεσθε κἀν τῇ ἐκκλησίᾳ, παρόντος τότ' ἐξ
5 ἀνάγκης καὶ τοῦ ὑμετέρου κατὰ πνεῦμα ἁγίου πατρός, αἱ πᾶσαι κοινῇ· καὶ τρισαγίου γενομένου καὶ κοινῆς τινος προσευχῆς, ὁ μὲν κατὰ πνεῦμα πατὴρ ἱερεὺς ὢν ἀναγκαίως τὴν ἀπόλυσιν αὐτὸς ποιήσεται τῆς εὐχῆς, ἡ δὲ ἐκλεγεῖσα οὕτως εἰς τὴν χρειωδῶς ἐπιστᾶσαν διακονίαν |85ᵛ| τρίτον μὲν τὴν παναγίαν εἰκόνα τῆς Θεοτόκου τῷ
10 ἐδάφει τὴν κεφαλὴν προσερείδουσα προσκυνήσει καὶ βοήθειαν ἐκεῖθεν λαβεῖν διὰ τὴν ἀνατεθεῖσαν ὑπηρεσίαν ἐξαιτήσεται ὁλοψύχως, ἅπαξ δ' ἔμπροσθεν τῆς κοινῆς διδασκάλου γονυκλιτήσει, προσκαταβάλλουσα ἕως γῆς ἑαυτήν, πρὸς δὲ καὶ τῶν ἀδελφῶν ἔμπροσθεν ἐν δυσὶν ἱσταμένων καὶ τότε χοροῖς τὴν αὐτὴν γονυκλισίαν ποιήσει· καὶ εὐλογίαν
15 τὴν διὰ τῶν προσευχῶν αὐτῶν καὶ αἰτήσασα καὶ λαβοῦσα ὡς ἤτησεν, οὕτω τῆς διακονίας ἀπάρ|84|ξεται καὶ ὡς παρὰ τοῦ Χριστοῦ αὐτοῦ καὶ τῆς αὐτοῦ παναχράντου μητρὸς τὸ χρειῶδες λειτούργημα δεξαμένη καὶ ὡς δοῦναι μέλλουσα λόγον καὶ ὑπὲρ τούτου κατὰ τὸν καιρὸν τῆς δικαιοκρισίας Χριστῷ, οὕτω καὶ ἀνθέξεται τοῦ ἔργου καὶ οὕτως ἄχρι
20 τέλους ἐνταῦθα τὸ ἑαυτῆς συντηρῆσαι σπουδάσει συνειδὸς ἀκατάγνωστον.

ιε'.

Πῶς ὄψονται τοὺς οἰκείους συγγενεῖς καὶ τοῦτο κατ' ἀνάγκην αἱ τῶν ἀδελφῶν
25 ἀτελεῖς τε καὶ ἀσθενεῖς.

75. Συγγενέσι μὲν οὖν εὔχεσθαι τοῖς ἡμετέροις τὰ κρείττω καὶ τὰ |84ᵛ| σωτήρια, εὐσέβειαν δή φημι καὶ ἀρετὴν καὶ ὅσαπερ ἄλλα ἡμεῖς ἡγούμεθα τίμια καὶ πολλῆς σπουδῆς καὶ ζητήσεως ἄξια καὶ ἐνδεδομένον καὶ παντάπασιν ἀκατάκριτον· σαρκικῶς δὲ τούτοις προσ-

---

3. ἐπϊτοαυτὸ *cod.* | 6. κοι κοινῆ *cod.* | 11. ἐξ τήσεται *cod.* | 28. σπουδ *in ras.* | 29. τούτοις *bis scribit cod.*

πάσχειν παρὰ τὰς ἡμετέρας ἐπαγγελίας καὶ τούτων ὑπερπονεῖν σαρκικῶς καὶ ταῖς περὶ αὐτῶν κοσμικαῖς καὶ ματαίαις φροντίσι τοὺς λογισμοὺς ἐνδεσμεῖν καὶ διὰ τοῦτο καὶ ὁρᾶν αὐτοὺς συνεχέστερον βούλεσθαι καὶ τὰ περὶ αὐτῶν ἀνερωτᾶν καὶ μανθάνειν καὶ μέντοι καὶ εἰς |85| τὰς οἰκίας αὐτῶν πυκνὰ παραβάλλειν δι' ἐφέσεως πολλῆς 5 ἄγειν καὶ τούτοις προσομιλεῖν ἀδεῶς καὶ τούτοις ἀκρατῶς καὶ ἀνυποστόλως συνδιαχέεσθαι, τοῦτο οὔτε ἐνδεδομένον καὶ ἀφάτου ζημίας, ἵνα μὴ εἴπω καὶ κρίματος, πρόξενον. Τὰς γὰρ τῶν συγγενῶν διαθέσεις διὰ τῆς συνεχοῦς ὁμιλίας ἔνδον εἰσοικισάμεναι τῆς ψυχῆς καὶ τοῦ κοσμικοῦ φρονήματος κατὰ διάνοιαν πάλιν ἀναπλησθεῖσαι, τῆς ἀγαθῆς ἐνστάσεως 10 ἡμῶν ἀποπίπτομεν καὶ τοῦ πνευματικοῦ φρονήματος χωρι|85ᵛ|ζόμεθα καὶ ἃς ὑποσχέσεις καλῶς πεποιήμεθα πρὸς Θεόν, μηδενὸς βιαζομένου, μηδενὸς ἀναγκάζοντος, ταύτας δὴ κακῶς ἀνατρέπομεν· ποῦ γὰρ ἐνταῦθα ἡ παντελὴς τοῦ κόσμου ἀποταγή, οὗ μέρος πάντως οἱ συγγενεῖς; ποῦ ἡ τελεία ἄρνησις τούτου; ποῦ ἡ νέκρωσις τοῦ Ἰησοῦ, 15 ἣν ἐν τῷ σώματι πάντοτε περιφέρειν ἀνάγκη; ποῦ ὁ σταυρός, ὃν αἴρειν πρὸς Θεὸν δι' ὅλου ἐπηγγειλάμεθα; ποῦ τὸ πρὸς τοὺς γονεῖς ἄμισον μῖσος τοὺς ἡμετέρους καὶ ἅπασαν τὴν ἄλλην συγγένειαν; πῶς ἐσόμεθα κατὰ διάθεσιν αὐτῶν χωρισθέντες |86| ἐπὶ τοσοῦτον, καθ' ὅσον καὶ τοὺς τεθνεῶτας τῶν ζώντων ὁρῶμεν κεχωρισμένους, ὃ 20 τῆς ἡμετέρας ἐπαγγελίας ἐστὶ τὸ κεφάλαιον.

76. Ἦν μὲν οὖν ἂν ἄριστον πάντως καὶ καλὸν προηγούμενον πάντως, εἰ οὕτως ἄχρι τέλους ἡμεῖς πρὸς τοὺς συγγενεῖς καὶ οἰκείους διακείμεναι ἦμεν, καθάπερ οὖν καὶ τὴν πρώτην τὸ μοναστήριον τοῦτ' εἰσιοῦσαι ηὐξάμεθα· ἐπεὶ δὲ πολλή τις νῦν ἡ ἀσθένεια τῶν ψυχῶν 25 καὶ τὸ τέλειον τῆς πολιτείας συντηρεῖν ὁλοκλήρως οὔκουν δυνάμεθα καὶ χρὴ διὰ τὴν ἀσθέ|86ᵛ|νειαν (τοῦτο δεύτερος ὅ φασι πλοῦς) μικρόν τι ὑπενδιδόναι καὶ λύειν μεθ' ἅμα τοῦ ἀζημίου τῆς ἀκριβείας τὸ σύντονον, διαταττόμεθα συγκαταβάσεως λόγῳ ἐρχομένους σπανίως τοὺς κατὰ σάρκα συγγενεῖς ἐνταυθοῖ κατ' ἐπιτροπὴν καὶ γνώμην τῆς 30 προεστώσης προσδέχεσθαι λίαν ἡμέρως καὶ μετὰ προσηνοῦς τῆς

---

15. 2 Cor. 4, 10. — 16. Matth. 16, 24. — 27. Corpus paroem. graec. I, 359, 21.

16 πάντοτε *in ras.* | 17. πρὸς τὸ *cod.*

προσρήσεως καὶ εἰσάγειν ἐν τῷ μέσῳ τῶν δύο πυλῶν καὶ καθῆσθαι προτρέπειν ἐκεῖ· εἶτα μή τινος ἑτέρας εἰδυίας τὴν ἀφηγουμένην μετακαλεῖσθαι καὶ προτρέπειν ἀπιέναι ἐκεῖ καὶ τὴν |87| ἐντὸς συγγενῆ, ἔχουσαν μὲν πρὸ ὀφθαλμῶν καὶ τὸν οἰκεῖον νυμφίον Χριστὸν καὶ κατὰ
5 νοῦν εὐχομένην τὴν πρὸς τὸν συγγενῆ ὁμιλίαν ἀζήμιον γενέσθαι καὶ ἐπωφελῆ, ἔχουσαν δὲ καὶ μίαν τῶν σεμνῶν πρεσβυτίδων μεθ' ἑαυτῆς εἰς περισσοτέραν ἀσφάλειαν ἑαυτῆς, καὶ ὁρώσης τῆς εὐλαβοῦς ταύτης γραὸς καὶ τῶν λόγων πάντων ἀκροωμένης, πάνυ ὀλίγα καὶ μηδὲ μίαν ἐπάγοντα βλάβην καὶ παρ' ἀμφοτέρων λαλεῖσθαι· εἶτα
10 εὐθὺς ἀπαλλάστεσθαι χωριζομένην τοῦ συγγενοῦς καὶ τὸ μοναστήριον σύναμα τῇ |87ᵛ| σεβασμίᾳ γραΐδι πάλιν εἰσέρχεσθαι.

77. Καὶ νῦν μὲν μία τῶν θεοφιλῶν πρεσβυτίδων τῇ νεωτέρᾳ συνέσται καθάπερ καὶ εἴρηκα· ἡνίκα δὲ καὶ πρός γε τοὺς συγγενεῖς οἴκοι μένοντας δεήσοι τινὰ ἐξ ὑμῶν < ἀπιέναι > μικρᾶς τινος διαχύ-
15 σεως ἕνεκα, τῆς ἡγουμένης τοῦτο διακρινούσης καὶ προσταττούσης, —ἐπιτρεπτέον γὰρ σπανιάκις καὶ κατ' ἀνάγκην γίγνεσθαι καὶ τοῦτο καὶ συγχωρητέον αὐτό — τότε οὐ μία τις μόνη, δύο δὲ συνέσονται ἐξ ἀνάγκης τῇ ἐξιούσῃ, καὶ περισσότερον ἢ πρότερον καὶ τὴν νεωτέραν καὶ ἑαυτὰς |88| ἀσφαλίσονται τοῦ μή τι μεταξὺ λαληθῆναι ἢ καὶ
20 πραχθῆναι τῶν ἀπηγορευμένων καὶ τῆς τοῦ σχήματος ἀπᾷδον πάντῃ σεμνότητος. Ἑσπέρας δὲ ἐπανιοῦσαν ἀμεταθέτως καὶ ἀναγκαίως ἐρωτᾶσθαι τὴν ἀπόδημον νεωτέραν παρὰ τῆς ἀφηγουμένης ἰδίᾳ καὶ μετὰ πλείστης ἐπιμελείας καὶ ἀνακρίνεσθαι χρὴ καὶ ἐρωτᾶσθαι καὶ ἀνακρίνεσθαι, ποῦ τε τὸν νοῦν τὴν ἅπασαν εἶχεν ἡμέραν καὶ τίνα
25 ποτὲ ἦσαν ἅπερ ἡ ταύτης διενοεῖτο καὶ ἐμελέτα ψυχὴ τίνες τε οἱ λαληθέντες λόγοι καὶ τίνα ἴσως τὰ παρὰ γνώμην ἀπαντήσαντα πράγ|88ᵛ|ματα καὶ εἰ διὰ πάσης ἡμέρας τὸν τοῦ Θεοῦ φόβον εἶχε μεθ' ἑαυτῆς καὶ εἰ παρατραπεῖσά που τῶν νενομοθετημένων τι παρεκίνησεν ἢ τῇ οἰκείᾳ χαυνώσει καὶ ῥαθυμίᾳ παραρρυεῖσα πρὸς
30 τοῦτο καὶ ὑπαχθεῖσα ἢ ταῖς ἔξωθεν ἀταξίαις καὶ περιστάσεσι συνενεχθεῖσα καὶ ἄκουσα· καὶ τὰ μὲν ἀποδοχῆς ἄξια ἀποδοχῇ καὶ αὐτὴν βεβαιοῦν, τὰ δὲ ἄλλως ἔχοντα τῇ μητρικῇ διδασκαλίᾳ καὶ ἐμμελεῖ

---

14. ἀπιέναι *suppl. om. cod.* | 28. παρατραπεῖσαν *cod.*

διορθοῦν ὡς ἡ δύναμις· οὕτω γὰρ ἂν πάντως καὶ αἱ ἀποδημοῦσαι τῶν |89| ἀδελφῶν τὸν ὃν εἰρήκαμεν τρόπον ἐν τοῖς μετὰ ταῦτα νηφαλιώτεραι ἔσονται, φροντίζουσαι τοῦ ἀποδοῦναι τὸν εἰς τὰ πάντα λόγον τῆς ἀποδημίας, καὶ ἡ ἀφηγουμένη μήτε ἐν τῷ καιρῷ τῆς ἀποδημίας τῆς ζωῆς αὐτῶν ἀμελεῖν νομισθήσεται. 5

ις'.

Ὅτι κατὰ τὸ Ἱεροσολυμιτικὸν τυπικὸν ἐκτελεῖν δεῖ τὰς εἰς Θεὸν ἁπάσας δοξολογίας καὶ τὰς ἀγρυπνίας καὶ τὰς νηστείας καὶ τὰς γονυκλισίας. 10

78. Ἐπεὶ δὲ καὶ τύπῳ δή τινι κανόνος ἢ καὶ γνώμονος τρόπον χρῆσθαι δέον ἡμᾶς τὰς πάσας ἡμέρας, καθ' ὃν ἄρα τύπον ὑμεῖς τὸν ἐπὶ πάντων Θεὸν ἐξυμνοῦσαι |89ᵛ| δοξολογήσετε καὶ τὰς εἰωθυίας γίγνεσθαι παρ' ἡμῶν ἐν τῇ ἐκκλησίᾳ συνάξεις εἰς ἐκείνου δόξαν ἀπαραλείπτως ποιήσετε ἑαυτάς τε ἐν ταῖς καθημεριναῖς καὶ ἀναγ- 15 καίαις διαθρέψετε χρείαις, οὐκ ἄλλος τις ὁ τοιοῦτος ἔσεται τύπος ὑμῖν ἢ ὅστις ἐκ Παλαιστίνης πάλαι ἧκεν ἐπὶ καλῷ τῶν ἐνταῦθα ἐκκλησιῶν ἡμῖν ἐπιδεδημηκώς, ὃς δὴ καὶ Ἱεροσολυμιτικὸν μὲν τυπικὸν ὀνομάζεσθαι εἴωθεν, ὑπὲρ δὲ τοὺς ἄλλους εἶναι παρά γε τῶν εὐφρονούντων καὶ διέγνωσται καὶ προκέκριται. 20

79. Προκέκριται |90| δέ, ὅτι τῆς βασιλικῆς ὢν καὶ εὐθείας οὔτ' εἰς ἀριστερὰ οὔτε εἰς δεξιὰ ἐκκλίνειν τοὺς τούτῳ ὅσα καὶ ὁδηγῷ χρωμένους ποιεῖ, ὅτι τῆς μεσότητος ἀναλογώτερον ἔχεται καὶ κατ' ἴσον ἀπέχον ὑπερβολῆς καὶ ἐλλείψεως οὔτε περιττεύει οὔτε ἐλλείπει τῆς χρείας αὐτῆς καὶ τοῦ δέοντος· ἐπεὶ δὲ οὕτω προκέκριται, καὶ 25 ὑμῖν γε πάντως κατὰ τὰς αἰτίας τὰς αὐτὰς προκριθήσεται· καὶ γοῦν κατὰ τοῦτον τὸν τύπον πᾶσα ἡ ἱερὰ τῆς ἐκκλησίας ἀκολουθία καὶ |90ᵛ| αἱ πρὸς Θεὸν τετυπωμέναι ἀνέκαθεν παρὰ τῶν πατέρων δοξολογίαι, μᾶλλον δὲ παρὰ τοῦ ἁγίου πνεύματος, καὶ ὑμῖν τελεσθή-

---

22. Num. 20, 17.

8. ἐκτελεῖ *cod.* | 24. κατίσον *cod.* | ἐπέχων *cod.*

σονται, αἱ ἄλλαι τε πᾶσαι καὶ δὴ καὶ αἱ κατὰ τὰς ἀγρυπνίας τὰς παννυχίους αὐταί· οὕτω γὰρ καὶ τότε καὶ ὑμεῖς ἀγρυπνήσετε πάντως γε ἀγρυπνοῦσαι, ὅπως τε οὗτος ὁ τύπος καὶ ἐν ὁποίοις διατάττεται τοῖς καιροῖς. Τετράκις μέντοι τῆς ἑβδομάδος ἐν ὑμῖν τὴν θυσίαν ὁ
5 ἱερεὺς ἀνοίσει Θεῷ τὴν ἀναίμακτον· ἡμέραι δὲ τῆς θυσίας ἔσονται |91| ταύτης ἡ τρίτη καὶ ἡ πέμπτη, πρὸς δὲ τῇ κυριακῇ καὶ τὸ σάββατον. Ὁ ἱερεὺς δὲ οὗτος πρῶτα μὲν σύνοικον ἔννομον ἔχειν ὀφείλει, ἔπειτα δὲ καὶ σεμνότητος ἱκανῶς ἔχειν καὶ εὐλαβείας, οὐ νέαν ἄγων τὴν ἡλικίαν ἀλλὰ πρὸς αὐτὸ τὸ γῆρας ἤδη κατηντηκώς· οὕτω δὲ
10 καὶ σπουδαῖος καὶ διεγηγερμένος ἔσται περὶ τὰς ἱερὰς καὶ καθημερινὰς συνάξεις τῆς ἐκκλησίας, ὡς μηδέποτε χωρὶς ἀσθενείας μήτε τῆς εἰς Θεὸν ὀρθρινῆς μήτ' αὖ τῆς ἑσπερινῆς δοξολογίας ἀπολιμπάνεσθαι.

80. Καὶ |91ᵛ| τῇ κατὰ τὴν τράπεζαν δὲ διαίτῃ οὕτω χρήσεσθε
15 καθ' ἡμέραν ὑμεῖς, ὥσπερ οὖν αὐτὸς οὗτος ὁ τύπος εἰσηγεῖται καλῶς καὶ καλῶς ὑποτίθησι. Καὶ γοῦν φάγεσθε δὶς τῆς ἡμέρας, ὅτε τοῦτο βούλεται οὗτος· οὐ φάγεσθε δὲ οὕτως, ὅτε οὗτος δὶς ἐσθίειν οὐ βούλεται· ἰχθύων μεθέξετε, ὅτε τούτων μετέχειν κελεύει αὐτός· οὐ μεθέξετε δέ, ὅτε ἰχθυοφαγεῖν οὐ κελεύει αὐτός.

20 81. Ἐλαίου τε καὶ οἴνου μεταλήψεσθε, τοῦθ' ὑμῖν αὐτοῦ ποιεῖν ἐπιτρέποντος· μὴ ἐπιτρέποντος δὲ ποιεῖν, καὶ τούτων |92| τελείως ἀφέξεσθε· γονυκλισίας ποιήσετε, ὅτι τῷ τύπῳ προσῆκον τοῦτ' εἶναι δοκεῖ, οὐ γονυκλιτήσετε δ' αὖ, ὅτε τοῦτ' αὐτῷ μὴ ἔστι δοκοῦν.

82. Τὸν ἅγιον καιρὸν τῶν σεπτῶν νηστειῶν, τῶν τε ἄλλων καὶ
25 αὐτῶν δὴ τῶν μεγάλων, οὕτω νηστεύσετε, ὡς ὁ τύπος οὗτος νηστεύειν ἐπιτρέπει ὑμῖν· ἐνδεδομένου δὲ ὄντος ἀπὸ τοῦ τύπου καὶ ἐλαίου μετέχειν τοὺς μοναχοὺς ἔν γε ταῖς κυριακαῖς τῶν μεγάλων νηστειῶν τουτωνὶ καὶ τοῖς σάββασι τῆς μεγάλης φημὶ τεσσαρακοστῆς, ὑμεῖς οὐδὲ ἐν ταύταις δὴ |92ᵛ| ταῖς ἡμέραις ἐλαίου τὸ παράπαν μεθέξετε,
30 ἐκτὸς εἰ μὴ ἄρα τις ἔσεται ἐν ὑμῖν ἀρρωστία παλαίουσα· τότε γὰρ ἡ ἄρρωστος αὕτη οὐκ ἐλαίῳ χρήσεται διὰ τὴν ἀσθένειαν μόνῳ, ἀλλὰ καὶ ἰχθύων πολλάκις, εἰ καὶ ἡ διδάσκαλος τοῦτ' ἐπιτρέψειεν, ἀπροκριματίστως μετέχουσα ἔσεται.

---

18. ||||χθύων *cod.* | 29. τοπαράπαν *cod.*

ιζ'.

Ὅτι ἰσότητι τὰς πάσας ἐν τῇ καθημερινῇ διαίτῃ χρῆσθαι χρεών.

83. Πολλὴν δὲ πρόνοιαν ἡ ἀφηγουμένη ποιήσεται ἐν τῇ καθημερινῇ διαίτῃ τῶν ἀδελφῶν, |93| ὡς μὴ ἡ ἀνισότης ἐνταῦθα καὶ τὰ ἄδικα τῆς πλεονεξίας ζυγὰ τὸ πλέον ἕξει καὶ τῆς δικαιοσύνης αὐτῆς καὶ τῆς ἰσότητος κατορχήσεται, ἀλλὰ μᾶλλον ἡ δικαιοσύνη κρατήσει καὶ τὰ τῆς ἰσότητος ἐν ὑμῖν καθαρῶς πολιτεύσονται. Ταύτῃ τοι καὶ οὐδεμία τις ἔσται παραλλαγὴ ἐν τῇ ὑμετέρᾳ τραπέζῃ οὔτε τινὸς βρώματος ὅλως οὔτε τινὸς τὸ σύνολον πόματος, ἀλλ' ὁ αὐτὸς ταῖς πάσαις ἀπὸ κεφαλῆς ἄχρι ποδῶν εἴτουν ἀπὸ τῆς πρώτης ἕως αὐτῆς τῆς ἐσχάτης προτεθήσεται |93ᵛ| ἄρτος καὶ ὁ αὐτὸς οἶνος καὶ τὰ αὐτὰ προσοψήματα καὶ ἐδέσματα, οὐ μόνον δὲ ἀλλὰ καὶ κατὰ λόγον ἰσομοιρίας καὶ δικαιοσύνης εὐθύτητι. Οὐ γὰρ ταῖς μὲν μᾶλλον, ταῖς δὲ ἧττον ἡ χρεία γενήσεται οὐδὲ ταῖς μὲν πολύ, ταῖς δὲ ὀλίγον οὐδὲ ταῖς μὲν τὰ κρείττω, ταῖς δὲ τὰ χείρω πάλιν δοθήσεται. Τοῦτο γὰρ οὐ δικαιοσύνης ἔργον ἀλλ' ἀδικίας, οὐδὲ εἰρήνης τοῦτο οὐδὲ ἀγάπης ἀλλ' ἀμέτρων σκανδάλων καὶ πολλῆς ταραχῆς καὶ συγχύσεως αἴτιον· ἐντεῦθεν γὰρ αἱ λαθροφα|94|γίαι, ἐντεῦθεν αἱ ὑποψίαι, ἐντεῦθεν αἱ καταλαλιαί, ἐντεῦθεν αἱ κατακρίσεις, ἐντεῦθεν οἱ γογγυσμοί, ἐντεῦθεν αἱ περιεργίαι, ἐντεῦθεν οἱ ὄκνοι καὶ ἀμέλειαι, ἐντεῦθεν πάντα τὰ ἄλλα τῆς ἔχθρας καὶ τῆς κακίας εἴδη, ἵνα μὴ τὰ καθ' ἕκαστον ἐπεξίω, ἃ ἡ πλεονεξία καὶ ἡ ἀνισότης οὐ καλῶς τῷ ἡμετέρῳ βίῳ ἀπέτεκον· διὰ τοῦτο μία ἔσεται βρῶσις ὑμῖν καὶ κοινή, μία πόσις ταῖς πάσαις καὶ ἡ αὐτή, μία τράπεζα, εἷς καιρός, τόπος εἷς τῆς τετυπωμένης καὶ κοινῆς |94ᵛ| μεταλήψεως.

84. Τοῦτο ἡ κατὰ Θεὸν εἰρήνη, τοῦτο ἡ ἐν Χριστῷ ἀγάπη, τοῦτο ἕνωσις φιλίας πνευματικῆς, τοῦτο σύνδεσμος ὁμονοίας, τοῦτο στερροτάτη φιλαδελφίας συνάφεια· τῆς δὲ ὑμετέρας τραπέζης τοιαύτης οὔσης καὶ κατ' ἐντολὴν ἑτοιμαζομένης Θεοῦ, οὐδεμιᾷ τῶν ἀδελφῶν

---

10. τοσύνολον *cod.* | 11. εἶτ' οὖν *cod.*

οὐδ' ὅλως παρὰ τοῦ τύπου δίδοται ἐξουσία ἔχειν τι τῶν βρωσίμων ἢ τῶν ποσίμων καὶ ἀποταμιεύειν τοῦτο ἐν τῷ ἰδίῳ αὐτῆς· πᾶσαι γὰρ ἐπ' ἴσης καὶ κοινῶς τῶν κοινῶν ἀπολαύουσαι τῶν ἀπηγορευμένων τούτων ἰδίων |95| ὡς κατακρίτων ἀφέξονται· εἰ δέ ποτέ τι καὶ παρὰ
5 τῶν ἔξωθεν συγγενῶν ἀποσταλείη τινὶ τῶν ἐντὸς ἀδελφῶν, αὐτὴ μὲν οὐ λήψεται, λήψεται δὲ ἡ ταμιεοῦχος αὐτὸ εἴτουν ἡ ἐπιστάτις τοῦ κελλαρίου καὶ παραθήσει τοῦτο ἐν τῇ τραπέζῃ τῇ κοινῇ, πρὸς ἣν ἂν καὶ ἀποσταλείη· ἡ δὲ τοῦ τοιούτου ἀκαταγνώστως μεταλαβοῦσα εὐχαριστήσει Θεῷ. Εἰ δὲ καὶ τὸ ἀποσταλὲν τοσοῦτον εἴη, ὥστε καὶ
10 εἰς πλείους διαμερισθῆναι, τυχὸν δὲ καὶ εἰς πάσας, εἰς πάσας μερισθήσεται πρὸς ὀλίγον ἐκεῖνο καὶ πᾶσαι ἐκείνου διὰ τὸ σύνδεσμον τῆς εἰρήνης |95ᵛ| ἐπ' ἴσης μεθέξουσιν· εἰ δὲ μὴ ἀρκοῦν εἴη οὕτω πως μερισθῆναι, εἰς μόνας αὐτὸ τὰς ἀσθενεῖς μερισθήσεται.

85. Καὶ βίβλος δὲ ἱερά τις εἰς κοινὴν ἀνάγνωσιν προτεθήσεται·
15 καὶ λαλήσει μὲν αὕτη μόνη ἡ βίβλος καὶ διδάξει μόνη αὐτή, αἱ πᾶσαι δ' ὁμοῦ μετά γε πολλῆς εὐλαβείας ἐσχάτην ἀσκήσετε σιωπὴν καὶ τῶν ἀναγινωσκομένων μόνων ἐστώσαις ἀκοαῖς, τὸ τοῦ λόγου, ἀκούσεσθε. Καὶ οὕτω θρέψετε μὲν καὶ σῶμα σιότητος λόγῳ τοῖς ἐνύλοις βρώμασι τούτοις, θρέψετε δὲ καὶ ψυχὴν κατ' ἰσομοιρίαν τοῖς ἀύλοις τῶν
20 ἀναγνωσμάτων ἐδέσμασι· τὸ γάρ· οὐκ ἐπ' ἄρ|69|τῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι διὰ στόματος ἐκπορευομένῳ Θεοῦ, καὶ τό· λάρυγξ μὲν γὰρ σῖτα γεύεται, νοῦς δὲ διακρίνει ῥήματα· μόνον οὐ τὴν ἄυλον ταύτην τῆς ψυχῆς παρίστησι δίαιταν· ὅπερ γὰρ ἐπὶ τοῦ σώματος ἡ τροφή, τοῦτο ἐπὶ ψυχῆς ἡ τῶν ἱερῶν καὶ θείων
25 λογίων πάντως ἀκρόασις. Εἰ δὲ καὶ χρεία γένηται τις λαλῆσαι καὶ ἀποκριθῆναι περί τινος τὴν ἀφηγουμένην, ἡσύχως καὶ ὑφειμένως χρὴ καὶ ταύτην λαλῆσαι καὶ ἐν πάνυ ὀλίγοις τοῖς ῥήμασι καὶ πάλιν εὐθέως σιγᾶν, ὡς τὸ πρότερον.

86. |96ᵛ| Οὐδεμία δὲ τῶν ἐν τῇ τραπέζῃ ἄδειαν ἕξει μετεωρίζε-
30 σθαί που τοὺς ὀφθαλμοὺς καὶ περιεργάζεσθαι τὴν πλησίον, πῶς τε τῶν παρατεθειμένων μετέχει καὶ τίνα γε ταῦτά εἰσι τὰ ταύτῃ παρατιθέμενα, ἀλλ' ἑαυτὴν ἑκάστη βλέπουσα μόνον καὶ τοῖς ἔμπροσθεν

---

20. Matth. 4, 4; Deut. 8, 3. — 22. Iob 12, 11.

παρατεθειμένοις τὸν νοῦν προσέχουσα μόνον, πλέον δὲ καὶ τῇ ἱερᾷ προσέχουσα ἀναγνώσει, εὐχαριστήσει μὲν Θεῷ τῷ χορηγήσαντι τὴν τροφὴν διὰ μόνην τὴν ἀμέτρητον αὐτοῦ εὐσπλαγχνίαν εἰς τὴν τοῦ σώματος σύστασιν, εὔξεται δὲ καὶ ὑπὲρ τῶν ἀδελφῶν |97| ἐκ ψυχῆς, αἳ διὰ τὴν ἐντολὴν τοῦ Θεοῦ τὴν τροφὴν ταύτην οὕτως αὐτῇ ὡς ἀχρεῖαι δουλίδες ἡτοίμασαν. Οὐδὲ τοῦτο παραλιπεῖν ἄξιον· ἐν γὰρ τῷ τοιούτῳ καιρῷ τοῦτο τηρεῖν ἀναγκαῖον πάντοτε, τὸ μὴ διώκειν ὑμᾶς τὸν κόρον φημὶ μηδὲ ὑπερεμπίπλασθαι τὴν γαστέρα μηδὲ καταβαρύνεσθαι ποιεῖν ταῖς τροφαῖς· κατάρας γὰρ ἄξιον τοῦτό γε, τοῦ Κυρίου εἰπόντος· οὐαὶ οἱ ἐμπεπλησμένοι. Καὶ χωρὶς δὲ τοῦ μεγάλου τούτου τῆς ἀρᾶς βάρους καὶ αὐτὸ τὸ σῶμα ὁ κόρος δύσχρηστον |97ᵛ| ἡμῖν πρὸς τὰς πράξεις ποιεῖ εὐκατάφορόν τε πρὸς ὕπνον καὶ πρὸς τὰς βλάβας τὰς ἀπὸ τῆς σαρκὸς ἑτοιμότερον· ἀλλ' ἕνα μὲν σκοπὸν τροφῆς ἔχειν τὴν τῆς χρείας ἐκπλήρωσιν, μέτρον δὲ τὸ ἔτι ὀλίγον ἐγκειμένης ἡμῖν τῆς ὀρέξεως ἀφίστασθαι τῆς τροφῆς.

87. Οὐ μὴν δὲ ἀλλ' οὐδὲ τὸ ἡδὺ τέλος ποιεῖσθαι τῆς βρώσεως χρή, ἀλλὰ τὴν πρὸς τὸ ζῆν χρείαν, παραιτουμένας τῆς ἡδονῆς τὸ ἀκόλαστον· τὸ γὰρ δουλεύειν ταῖς ἡδοναῖς οὐδὲν ἕτερον ἢ τὸ θεὸν ἑαυτῆς τινα τὴν κοιλίαν ποιεῖν.

88. |98| Τρὶς δὲ τῆς ἑβδομάδος ἐξωνηθήσονται ὑμῖν καὶ τὰ ἔξωθεν χρήσιμα, εἴτε ἰχθύες εἶεν νεαροὶ ταῦτα εἴτε τινὰ ἕτερα, ἅπερ ἂν τύχοι τῷ τότε διδοὺς ὁ καιρός.

89. Τῆς μέντοι καθημερινῆς ὑμῶν τραπέζης ταύτης τὰ λείψανα οὐδαμῶς ταμιεύσετε οὐδὲ τῇ ἐπιούσῃ τηρήσετε, ἐξοίσετε δὲ μᾶλλον ταῦτ' ἀναγκαίως τοῖς κατὰ Χριστὸν ἀδελφοῖς μου τοῖς πένησι, τοῖς ὑπὸ λιμοῦ τε καὶ πείνης σκληρᾶς καὶ βιαίας πρὸς τῷ ὑμετέρῳ παραβάλλειν καθ' ἡμέραν ὠθουμένοις |98ᵛ| πυλῶνι καὶ πρὸς τὰς ὑμετέρας μετὰ Θεὸν ἀποβλέπουσι χεῖρας, ὥστε τι τρύφος ἄρτου μικρὸν παρ' ὑμῶν καὶ ὄψου τραφήσεσθαι τὸ βραχύτατον· καὶ τούτοις δὴ τοῖς ὀλίγοις καὶ περιττοῖς ὑμῶν κλάσμασι τὴν ἔνδειαν αὐτῶν τὴν πολλὴν μετρίως παραμυθήσεσθε, καὶ τοῦτο ἐν σπλάγχνοις φιλανθρωπίας, καὶ τοῦτο σὺν πολλῇ ἱλαρότητι, Χριστὸν μόνον οὐ δι' αὐτῶν ἐστιῶσαι

---

10. Luc. 6, 25. — 19. Phil. 3, 19.

14. τῆς *supra lin. corr.*

καὶ Χριστὸν ἀτεχνῶς δι' αὐτῶν δεξιούμεναι καὶ οὐκ ἐκείνοις μᾶλλον
ἢ ἑαυταῖς ἐκ τούτου τὰ μέγιστα χαριζόμεναι· οὐ γὰρ μόνον ὑμεῖς
οἱ |99| κτίρμονες ἔσεσθε, ὡς καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων
ἐστίν, ἀλλὰ δὴ καὶ μακάριαι, ἀλλὰ δῆτα δίκαιαι· ὅλην γὰρ ἔλεεῖ
5 τὴν ἡμέραν, ὡς γέγραπται, καὶ δανείζει ὁ δίκαιος, καὶ· ἐσκόρπισεν,
ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ
αἰῶνος· καί· μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται· καί·
μακάριος ὁ συνιὼν ἐπὶ πτωχόν καὶ πένητα· καί· ὁ σπείρων εἰς
ἐλεημοσύνην καρπὸν τρυγήσει ζωῆς, ταὐτὸν δ' εἰπεῖν ἀθανασίας
10 ὁμοῦ καὶ μακαριότητος· εἰ δὲ καὶ ὁ ἐλεῶν |99ᵛ| πτωχὸν δανείζει
Θεόν, ὡς ἀκούετε, καὶ Θεὸν ἕξετε πάντως χρεώστην ὑμεῖς ἀποδώ-
σοντα μετὰ κέρδους πολλοῦ ἐν καιρῷ καὶ σὺν τόκῳ βαρεῖ τὸ δάνειον
καὶ ὀφείλημα. Εἰ δὲ καὶ ὁ ἀτιμάζων πένητα παροξύνει τὸν ποιή-
σαντα αὐτόν, πῶς οὐχὶ τιμήσετε σαφῶς ἄγαν ὑμεῖς τὸν Θεόν, τὸ
15 τούτου συμπαθῶς περιέπουσαι ποίημα; εἰ δὲ καὶ ἐλεημοσύναις καὶ
πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι, πῶς οὐ καὶ τὰ τῶν ὑμετέρων
ῥύπη ψυχῶν καὶ μολύσματα ῥύψετε καὶ ἐντεῦθεν ὑμεῖς, |100| τῇ
καθαρτικῇ τῆς ἐλεημοσύνης χρώμεναι πόᾳ, καὶ ὡς ἔριον καθαρὸν
ὑμεῖς λευκανθήσεσθε; οὐ ταῦτα δὲ μόνα ἑαυταῖς γενήσεσθε χαριζό-
20 μεναι τὰ μέγιστα ἀγαθά, ἀλλά γε καὶ ἑκατονταπλασίονα ἄνωθεν
εὐλογίαν, ὡς ἡ ὑπόσχεσις, λήψεσθε κἂν τοῖς ὑμετέροις ταμείοις,
ἀφ' ὧν καὶ τὰ σπέρματα τοῦ ἐλέους ἐκεῖνα καταβάλλετε τὰ ὀλίγα,
τὴν εὐλογίαν ταύτην ἀποκειμένην προδήλως εὑρήσετε, εἰς πληθυσμὸν
ἐπιδιδοῦσαν καὶ αὔξην τὰ ἔνδον ἐγκείμενα. Καὶ νῦν μὲν οὕτως |100ᵛ|
25 εὐλογήσει διὰ τοὺς πένητας τὰ ὑμέτερα ταμεῖα ὁ δεσπότης τῶν ὅλων
καὶ πάντων τῶν ἀγαθῶν ταμίας καὶ χορηγός, ὁ ἔλεον θέλων καὶ
οὐ θυσίαν, ὑπὲρ μυριάδας ἀρνῶν πιόνων τὴν εὐσπλαγχνίαν εἰσφερο-
μένην αὐτῷ διὰ τῶν δεομένων εὐμενῶς καὶ ἡμέρως δεχόμενος·
ὁπηνίκα δὲ καὶ τῶν ἐνθένδε ἀπαλλαγῆτε καὶ μεταστῆτε, καὶ εἰς
30 τὰς αἰωνίους αὐτοῦ σκηνὰς ὑμᾶς ἀναμφιβόλως δεχθῆναι προστάξει
δι' ἀμέτρητον αὐτοῦ καὶ ἀνείκαστον ἔλεος, ὡς ἐδίδαξεν.

---

3. Luc. 6, 36. — 4. Psalm. 36, 26. — 5. Psalm. 111, 9. — 7. Matth. 5, 7. — 8. Os. 10, 12. — 26. Os. 6, 6. — 30. Luc. 16, 9.

23. ταύτην *add. corr.* | 30. αὐτῶν *cod.*

ιη'.

|101| Πῶς ὀφείλει ἡ ἀφηγουμένη διακεῖσθαι περὶ τῶν ἀρρωστουσῶν ἀδελφῶν καὶ τίνος ἐπιμελείας αὐτὰς ἀξιοῦν.

90. Ἀλλὰ τὰς μὲν ἐν ὑγείᾳ πάσας οὕτω διαθρέψει ἡ ἀφηγουμένη καθ' ἡμέραν αὐτὰς ἑστιῶσα καὶ οὕτως αὐτῶν συμπαθείαις μητρικαῖς προνοήσεται, ταῖς δὲ ἐν ἀσθενείᾳ οὔσαις οὐχ ὁμοίως χρήσεται πάντως οὐδὲ ὡσαύτως τούτων ἐπιμελήσεται, ἀλλὰ κρειττόνως, ἀλλὰ παρηλλαγμένως παντάπασιν, ἀλλ' ὡς ἀπαιτεῖ ἡ ἀνάγκη τῆς χρείας καὶ ὁ βοηθήσων ἰατρὸς ἀσθενούσῃ τῇ φύσει προτρέπεται· καὶ γὰρ καὶ ἰατρὸν ὁμοῦ μὲν |101ᵛ| εὖ ἔχοντα τῆς τέχνης ὁμοῦ δὲ καὶ πολλῇ εὐλαβείᾳ συζῶντα μετακαλεῖσθαι ἀνάγκη· καὶ κατὰ τὴν ἀπὸ τῆς τέχνης διάγνωσιν τούτου καὶ φαρμάκοις ἔστιν ὅτε ἡ ἄρρωστος χρήσεται καὶ σιτίων ὑγιεινῶν μεταλήψεται καὶ λουσομένη εἰς λουτρὸν παρ' ὑμῶν ἀπαχθήσεται καὶ τἆλλα πάντα προσοίσει ἑαυτῇ, τὴν ὑγίειαν διὰ τῶν ἰατρικῶν ἐπανακαλουμένη πρὸς τὴν προτέραν κατάστασιν.

91. Ἀλλ' ἡ μὲν κοινὴ μήτηρ τοιαύτης ἐπιμελείας ἀξιώσει τὴν ἀρρωστοῦσαν καὶ οὐ πρότερον |102| παύσεται τῶν αὐτῶν ἀξιοῦσα καὶ ἀπὸ τῶν κοινῶν τὰ ἀναλώματα ἅπαντα χορηγοῦσα, πρὶν ἂν καὶ τέλεον ἀπαλλάξειε τῆς ἀρρωστίας αὐτήν, πρὶν ἂν καὶ τελείαν αὐτῇ χαρίσαιτο τὴν ὑγίειαν.

92. Αἱ ἀδελφαὶ δὲ πᾶσαι οὔτε τι ζηλοτυπήσουσιν οὔτε τινὶ βασκανίας πάθει ἁλώσονται, ὅτι θεραπείας οὕτως ἀξιοῦται ἡ ἰδία αὐτῶν ἀδελφή, μᾶλλον μὲν οὖν καὶ ἀποδέξονται τοῦτο καὶ μᾶλλον τὴν ἀσθενοῦσαν συμπαθῶς ἐπισκέψονται· ἐλεεῖσθαι γὰρ ἀλλ' οὐ ζηλοτυπεῖσθαι δι|102ᵛ|καία ἡ ἄρρωστος· ἐπισκέπτεσθαι ταύτην ἀλλ' οὐ βασκαίνεσθαι ἄξιον· διατεθήσονται δὲ οὕτω καί γε οὕτω ποιήσουσι, τὸ μέν τι τὴν ἐκείνης ὡς οἰκείου μέλους λογιζόμεναι ἀρρωστίαν τὴν ἐκείνης τε αὖ θεραπείαν ὡς ἰδίαν ἡγούμεναι δι' αὐτὸ τοῦτο

---

17. ἄξι τὴν *cod.* | 28. ὡς *add. cod.*

ὑγείαν, τὸ δέ τι καὶ ἑαυταῖς τὸ εὖ ποτε παθεῖν παρά γε τῶν εὖ τοῦ σώματος ἐχουσῶν ἐν ταῖς ὁμοίαις προμνηστευόμεναι ἀσθενείαις καὶ περιστάσεσιν, εἰ καὶ αὐταὶ δηλαδὴ ἐν καιρῷ σωματικῆς τινος ἀρρωστίας |105| συμπτώματι περιπέσοιεν.

5 93. Οὐ μόνον δὲ ταῖς ἀσθενούσαις τῶν ἀδελφῶν οὕτως ὡς ἔφην χρήσεται ἡ καθηγουμένη, ἀλλὰ καὶ εἴ τινές ποτε τῶν ἔξωθεν περιφανῶν καὶ ἁβροτέρῳ βίῳ χρησαμένων ἐν κόσμῳ ἐνταῦθα ἔλθοιεν, ὥστε συνοικεῖν ὑμῖν καὶ συζῆν, καὶ ταύταις, εἰ συγκαταβατικώτερον ἢ συμπαθέστερον χρήσασθαι πρὸς καιρὸν βουληθείη καὶ παραμυθή-
10 σασθαι μετρίως αὐτὰς καὶ ὡς ἡ ἐκείνης διάκρισις διαγνώσεται, ἐξέσται αὐτῇ |105ᵛ| τὸ τοιοῦτο ποιεῖν.

94. Οὐ τούτῳ δὲ μόνον ἡ ἀφηγουμένη τὰς τοιαύτας παραμυθήσεται, ἀλλὰ καὶ εἴ τις ἀπὸ τῶν τοιούτων ζητήσειεν ἔχειν μίαν ὑπηρέτιν καὶ μόνην εἰς μετρίαν ὑπηρεσίαν ἑαυτῆς καὶ ἀνάπαυσιν,
15 παραχωρήσει καὶ τοῦτο οὕτω γενέσθαι· πλὴν ἐν ταύταις μόναις ταῖς ἀπὸ τοῦ τοιούτου περιβλέπτου βίου ἐρχομέναις δηλονότι ἐνταῦθα παραχωρήσει γενέσθαι, ἐπ' ἄλλῃ δὲ οὐδαμῶς οὐδεμιᾷ τὸ τοιοῦτον γενέσθαι ξυγχωρηθήσεται πώποτε.

ιθ'.

20 |104| Ὅτι δεῖ ἐργάζεσθαι πάσας τὰς ἀδελφὰς κοινὰ καὶ οὐκ ἴδια καὶ πῶς ἐνδύεσθαι χρὴ καὶ πόθεν ἐνδύεσθαι.

95. Ἐπεὶ δὲ πονηρίας πάσης ὑπόθεσις ἡ ἀργία καὶ κακίας ἁπάσης αὕτη διδάσκαλος — πᾶσαν γὰρ κακίαν ἐδίδαξεν ἡ ἀργία
25 φησίν, — ἀναγκαῖόν ἐστι τὸ ἐργάζεσθαι, καὶ τοσοῦτον ἀναγκαῖον, ὅσον ἄρα καὶ ἡ καθημερινὴ αὕτη τροφή. Καὶ διὰ τοῦτο οἶμαι καὶ ὁ σοφώτατος Σολομῶν· σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγεν, ὡς ἐν ἐγκωμίου καὶ ἐπαίνου ἔγραψε μοίρᾳ· καὶ διὰ τοῦτο καὶ |104ᵛ| ὁ Χριστὸς ἄξιος

---

24. Eccl. 33, 29. — 27. Prov. 31, 27.

εἴρηκεν οὐχ ἁπλῶς ἕκαστος οὐδ' ὡς ἔτυχεν ἀλλ' ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστι. Καὶ διὰ τοῦτο καὶ ὁ ἀπόστολος δωρεὰν παρά τινος ἄρτον οὐκ ἔφαγεν, ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ ἡμέρας καὶ νυκτὸς ἐργαζόμενος καὶ διὰ τοῦτο καὶ τὸν μὴ ἐργαζόμενον ὁ αὐτὸς μηδὲ ἐσθίειν παρήγγελλε, δεικνὺς κἀκ τούτου ὁ μέγας τῆς ἐκκλησίας διδάσκαλος, ὅσον ἡ ἐργασία ἐστὶ καλόν· ἐργάζεσθαι δὲ ἀναγκαῖον, τοῦτο μὲν διὰ τὸν ὑπωπιασμὸν |105| τῆς σαρκὸς καὶ τὴν τῆξιν τοῦ σώματος· οὐ γὰρ πρόφασις ἡμῖν ἀργίας ἡ ἀπὸ τοῦ ματαίου τούτου κόσμου φυγὴ καὶ ἡ ἐπαγγελία τοῦ σχήματος οὐδ' ἀποφυγὴ πόνου, μᾶλλον μὲν οὖν καὶ περισσοτέρων κόπων καὶ μόχθων αὕτη ὑπόθεσις, τοῦτο δὲ καὶ διὰ τὴν εἰς τὸν πλησίον ἀγάπην, ἵν' ἔχωμεν κατά γε τὸ παράγγελμα τοῦ ἀποστόλου μεταδιδόναι τῷ χρείαν ἔχοντι.

96. Ὑμεῖς μὲν οὖν τοῦ κοινοῦ ἕνεκα ἐργάσεσθε οὕτως αἱ πᾶσαι ὁμοῦ, καὶ κατὰ τοιοῦτον πάντως σκοπὸν λαμβάνουσαι τὴν |105ᵛ| ὕλην τῆς ἐργασίας ἐκ τῶν κοινῶν ταμιείων καὶ τῆς τῷ κοινῷ δοχείῳ ἐφισταμένης ταύτην τὴν ὕλην χορηγούσης ὑμῖν, καὶ τὰς μὲν χεῖρας εἰς τὰ ἔργα ἔχουσαι καὶ κινοῦσαι, τὴν δὲ γλῶσσαν, ὅταν ᾖ καὶ τοῦτ' αὐτὸ δυνατόν· εἰ δὲ μή, τὴν γοῦν διάνοιαν ἔνδον εἰς ψαλμοὺς καὶ ὕμνους καὶ ᾠδὰς πνευματικὰς καὶ εὐχὰς καὶ προσευχὰς διεγείρουσαι, καὶ ὁμοῦ μὲν οὕτω Θεὸν ἀνυμνοῦσαι, ὁμοῦ δὲ καὶ προσευχαριστοῦσαι αὐτῷ, καὶ προσευχαριστοῦσαι, |106| ὅτι καὶ δύναμιν ὑμῖν ἐχαρίσατο πρὸς τὰ ἔργα καὶ σοφίαν νοὸς πρὸς τὴν κατάληψιν τῆς ἐργασίας παρέσχε, χορηγῶν δὲ παρέσχεν εὐσπλάχνως καὶ τὴν ὑποκειμένην ὕλην τοῖς ἔργοις, ὁμοῦ δὲ καὶ προσευχόμεναι κατευθυνθῆναι τὸ ἔργον ὑμῶν πρὸς Θεοῦ εὐαρέστησιν· καὶ ὑμεῖς οὕτως ἐξ ἀναγκαίου ἐργάσεσθε καὶ ἐπὶ τοιούτῳ ᾧ ἔφην σκοπῷ (μαθοῦσα καλῶς ἐκ τῶν πατρικῶν καὶ ἱερῶν βιβλίων ταῦτα ἐγὼ καὶ τὴν ἐργασίαν ἑκάστῃ ἀποδιδοῦσα) παρέ|106ᵛ|ξετε τῷ κοινῷ καὶ ἀποθήσετε ταμιείῳ μηδέν τι ὅλως πράττειν ἢ ἔχειν ἴδιον ἀνεχόμεναι. Τὸ γὰρ οὕτω πράττειν καὶ οὕτως ἔχειν κλοπή τις ἀτεχνῶς καὶ ἱεροσυλία κατὰ τὸν μέγαν ἔστι Βασίλειον, πρὸς θάνατον ἄγον, οὐ πρὸς ὠφέλειαν· κἂν καὶ

1. Matth. 10, 10. — 2. 2 Thess. 3, 8. — 5. 2 Thess. 3, 10. — 12. Ephes. 4, 28. — 30. Cf. Reg. brev. 142, P. G. 31, 1177.

6. κακὸν *cod.* | 31. ἔστι *in ras.*

ἀγαθὸν τοῦτ' εἶναι δοκοίη, καὶ ἐξ ἐναντίας ἱστάμενόν ἐστιν ἄντικρυς ταῖς ἀποστολικαῖς καὶ μαχόμενον πράξεσιν, ἐν οἷς ἐκεῖναί φασι· πάντες δὲ οἱ πιστεύσαντες ἦσαν ἐπὶ τὸ αὐτὸ καὶ εἶχον ἅπαντες κοινὰ καὶ διεμέριζον αὐτὰ καθότι ἄν τις |107| εἶχε χρείαν· καὶ αὖθις· τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά· καὶ ἡ τοῦτο πράττουσα τοῦ προδότου Ἰούδα, ὡς καὶ τοῦτο ὁ μέγας ἅγιος ἐκεῖ φησί, κατ' οὐδὲν διενήνοχε· προδίδωσι γὰρ καὶ αὐτὴ τὸν λόγον τὸν ἀληθῆ τῆς εὐλαβείας καὶ τῆς σεμνότητος εἰς θάνατον οἷον εἰπεῖν καὶ κατάλυσιν, ὡς ὁ μιαρὸς ἐκεῖνος ἄνθρωπος τῆς δόξης τὸν Κύριον.

97. Ὑμεῖς μὲν οὖν οὕτως ἐργάσεσθε καὶ οὕτω περὶ τῆς ἐργασίας |107ᵛ| φρονήσετε καὶ οὕτω ποιήσετε. Ἡ ἀφηγουμένη δὲ ὡς ἂν τὰς κοινὰς τῶν ὅλων ἀναδεδεγμένη φροντίδας καὶ ἡ διάκονος τοῦ κοινοῦ δοχείου καὶ ἐπιστάτις παρέξουσι τὰ κατὰ χρείαν ὑμῖν, ἐκ τῶν κοινῶν καμάτων καὶ πόνων ταῦτα παρέχουσαι, οὕτω δὲ παρέξουσι ταῦτα ὑμῖν· καλὸν γὰρ μηδὲ τοῦτό με ἀδιάτακτον παραδραμεῖν καὶ ἀτύπωτον.

98. Ἀνὰ ἕκαστον μὲν ἐνιαυτὸν ἑκάστῃ τῶν ἀδελφῶν δύο χιτώνια λευκὰ καὶ ἐν χρῷ τῆς σαρκὸς αὐτῆς ἐνδυόμενα καὶ ἕνα χιτῶνα μέλανα πάλιν, ὃν δὴ ἐπάνω τε |108| τῶν ἄλλων ἐσθημάτων ἐπενδυόμεθα καὶ ἱμάτιον συνήθως αὐτὸν ὀνομάζομεν. Παρέξουσι δὲ ὡσαύτως ἑκάστῃ καὶ ὑποδήσεις γυναιξὶ καθ' ὑμᾶς πρεπούσας, δύο κατ' ἔτος ζυγάς, καὶ ταύτας καινάς, ἃς δὴ καὶ καταλυθείσας πάλιν ἐπισκευάσονται ἀπὸ τῶν κοινῶν καὶ ἀνανεώσουσι.

99. Καὶ ταῦτα μὲν παρέξουσι κατ' ἔτος ὑμῖν. Τριῶν δὲ πληρουμένων ἐνιαυτῶν, ταῦτά τε ἅπερ ἔφην ἀνυστερήτως ἑκάστῃ παρέξουσι καὶ δὴ καὶ μανδίαν καὶ περιστήθια δύο ἀρκοῦσαν κεκτημένα παχύτητα, ἵνα καὶ δύνηται |108ᵛ| ταῦτα πλέον περιθάλπειν καὶ διαθερμαίνειν τὸ σῶμα καὶ πρὸς τὴν τῆς χειμερίας ὥρας ἱκανῶς ἀντέχῃ δριμύτητα· οὐ ταῦτα δὲ μόνα ἀπὸ τῶν κοινῶν ἑκάστῃ παρέξουσιν,

---

3. Act. 2, 44. — 5. Act. 4, 32. — 7. Cf. Act. 5, 1.2.

3. τοαυτὸ *cod.* | 8. κατουδὲν *cod.* | 23. πρεπούσαις *cod.* | 26. κατέτος *cod.*

ἀλλὰ δὴ καὶ τὴν ἐπὶ τῆς κεφαλῆς ἅπασαν χρείαν αὐτῶν· σκέπας δὲ λέγω ταύτην τὴν χρείαν τῆς κεφαλῆς καὶ ἃ παρ' ὑμῶν ἰδιωτικῶς φακιόλια καὶ μαγουλίκια λέγονται.

100. Πρὸς τούτοις παρέξουσιν ἑκάστῃ ἀνὰ ἕκαστον μῆνα καὶ νίτρον εἰς κάθαρσιν τῶν ἱματίων αὐτῆς ἀνὰ λίτραν μίαν. 5

101. Ὡσαύτως |109| καὶ λινέλαιον παρέξουσιν, ἵνα ἀνάπτωσι φῶτα ἐν τοῖς κελλίοις αὐτῶν κατὰ χρείαν. Τάς γε μὴν προαιρουμένας τῶν ἀδελφῶν λούεσθαι κατὰ χρείαν τετράκις τοῦ ἐνιαυτοῦ παρέξουσι λούεσθαι.

102. Ἀλλ' ἐπεὶ καὶ ἀπὸ τῶν ἐνδυμάτων τῶν ἔξωθεν τούτων τὰς 10 τῷ Χριστῷ μαθητευομένας χαρακτηρίζεσθαι χρὴ καὶ ὁμοῦ μὲν διὰ τῆς ἐν τούτοις λιτότητος καὶ τοῦ εὐτελοῦς τε καὶ ἀπεριέργου αὐτὸν τὸν τῆς χρήσεως ἐπιδεικνύειν σκοπὸν καθαρῶς, ὡς |109ᵛ| τῆς σκέπης ἡμῶν προσδεομένων μόνης τοῦ τε ἀσχήμονα περικαλύπτειν ἡμῶν καὶ τοῦ φεύγειν τὰς ἐξ ἀέρων προσπιπτούσας βλάβας ἡμῖν· ἔχοντες, 15 γάρ φησιν ὁ ἀπόστολος, διατροφὰς καὶ σκεπάσματα τούτοις ἀρκεσθησόμεθα· οὐκέτι μέντοι καὶ τῆς ποικιλίας τῶν ἐνδυμάτων καὶ τοῦ ἀπ' αὐτῆς προσδεομένων καλλωπισμοῦ, ὅπερ ἐστὶν ἡ ἀπηγορευμένη παρὰ τῷ αὐτῷ ἀποστόλῳ καλῶς περπερεία· ὁμοῦ δὲ πάλιν καὶ τὸ ἀπὸ τῆς ἐσθῆτος ἰδίω|110|μα τῆς ταπεινοφροσύνης τοῦ χριστιανοῦ 20 παριστάνειν σαφῶς, ὡς τῆς ἐσθῆτος αὐτῆς προκηρυττούσης καὶ προδιαμαρτυρομένης τῆς κατὰ Θεὸν ζωῆς ἡμῶν τὸ ἐπάγγελμα, ἐκεῖνα τὰ ἐνδύματα ἐπινοεῖν ὑμᾶς καὶ αἱρεῖσθαι προσήκει, ἅπερ αὐτό τε τὸ ἀπερίεργον ἔχει αὐτό τε τὸ εὐποριστότερα εἶναι παρέχει καὶ τρίτον αὐτὸ τὸ πρὸς τὸν σκοπὸν τῆς χρείας ἀρκοῦν· κἂν τούτοις πάλιν οὐ 25 τὰ ἐκλεκτὰ ἐπιζητεῖν δεῖ, ἀλλὰ μᾶλλον τὰ εὐτελέστερα, |110ᵛ| ἵν' ἔργῳ τὴν ταπεινοφροσύνην ἐπιδειξαίμεθα καὶ μὴ μᾶλλον φιλαύτων καὶ κενοδόξων καὶ περπέρων δόξαν ἀπενεγκοίμεθα· αἱ γὰρ τῶν πρωτείων οὐ καλῶς ἐφιέμεναι οὔτε ἀγάπην δύνανται ἔχειν καὶ τῆς ταπεινοφροσύνης εἰς ἅπαν ἐστέρηνται. 30

103. Ὥσπερ δὲ αἱ φιλόδοξοι τῶν γυναικῶν καὶ ἀπὸ τῆς τῶν περιβολαίων καὶ ἱματίων ἐξαλλαγῆς τὸ κενὸν ἑαυταῖς ἐπιτηδεύουσι

---

23. τὰ ἐνδύματα *in ras.*

15. 1 Tim. 6, 8.

θηρᾶσθαι δοξάριον, ἀποβλέπεσθαί τε καὶ περιβλέπεσθαι ἐπὶ τῇ πολυτελείᾳ |111| τῆς ἐσθῆτος φιλοτιμούμεναι, οὕτως αἱ τὴν ταπείνωσιν καὶ εὐτέλειαν καὶ πτωχείαν τοῦ Ἰησοῦ ἐκμιμούμεναι κατὰ δύναμιν καὶ εἰς τὸ ἔσχατον κατὰ τὴν μεγάλην αὐτοῦ ἐντολὴν καὶ παραίνεσιν τὴν ἑαυτῶν ζωὴν καταβάλλουσαι αἱρεῖσθαι ὀφείλουσι τὸ πάντων ἔσχατον κἂν τοῖς ἱματίοις τούτοις καὶ ἐπιβλήμασι, μιμούμεναι οὐ τὰς ἐν τέλει καὶ τοῖς βασιλείοις οἴκοις ἀνατρεφομένας καὶ τὰ μαλακὰ ἠμφιεσμένας καὶ περιρρέοντα, ἀλλὰ τὸν ἐν |111ᵛ| γεννητοῖς γυναικῶν μείζονα Ἰωάννην τὸν πάνυ, τὸν τοῦ Ζαχαρίου, οὐ μόνον δὲ ἀλλά γε καὶ τὰς ἀρχαίας ἁγίας ἐκείνας, ὅσαι ἀπ' αἰῶνος τῷ Θεῷ δηλαδὴ εὑηρέστησαν, ὧν ὁ μὲν ἐκ τριχῶν καμήλου εἶχε τὸ ἔνδυμα, αἱ δὲ ἐν μηλωταῖς περιῆλθον ἐν αἰγείοις δέρμασιν ὡς ἀκούομεν.

104. Διὰ τοῦτο ἐκλεκτέον ἂν εἴη καὶ παρ' ὑμῖν τὰ εὐτελέστερα, ὁμοῦ δὲ καὶ τὰ εὐποριστότερα, εἴγε μέλει ὑμῖν καὶ ἀπὸ τούτου τοῦ τρόπου χαρακτηρίζειν ἰδίως ἐν ἑαυταῖς τὸν χαρα|112|κτῆρα τῆς τοῦ σχήματος ὁσιότητος καὶ τὴν ἀκριβῆ τοῦ σωτῆρος μαθήτριαν· ὡς γὰρ ἑκάστῳ τῶν ἐν κόσμῳ ἀξιωμάτων καὶ τάγματι ἑκάστῳ ἔστι τι ἴδιον ἐν τῷ σχήματι, ἀφ' οὗ καὶ γνωρίζεται ἕκαστα, οὕτω προσῆκον εἶναί τινα τῶν μαθητριῶν τοῦ Χριστοῦ ἰδιότητα ἐν τοῖς περιβολαίοις αὐτῶν εὐτελῆ τε ἅμα καὶ εὐπρεπῆ καὶ σχῆμα καταστολῆς πενιχρᾶς καὶ κοσμίας, ἀφ' ὧν παρὰ τοῖς ὁρῶσιν ἴσως δὲ καὶ παρὰ τοῖς ἀκούουσι τοῦθ' ὅπερ εἰσί, μαθήτριαι τοῦ Χριστοῦ |112ᵛ| δηλονότι, εἰς δόξαν αὐτοῦ τοῦ μόνου τε καὶ μεγάλου διδασκάλου ἡμῶν γνωρισθήσονται.

κ'.

Ὅτι καθ' ἡμέραν χρῆσθαι τῇ ἐξομολογήσει χρεών.

105. Ἐπεὶ δὲ τὸ μὲν μηδὲν ἁμαρτεῖν ὄντως ὑπὲρ ἄνθρωπον κατὰ τὸν θεολόγον Γρηγόριον καὶ μόνου Θεοῦ, τὸ δ' ἀμετανόητον καὶ διὰ τοῦτ' ἀθεράπευτον τῆς πονηρᾶς καὶ ἀντικειμένης δυνάμεως, τὸ δ' ἐπιστρέφειν ἁμαρτανούσας μετανοίᾳ καὶ ἐξομολογήσει χρωμένας

8. Matth. 11, 11. — 27. Gregorii theol. Orat. 40, 7, P. G., 36, 365. – 12. Hebr. 11, 37.

7. ἀναστρεφομένας *cod.*

θερμῇ δηλονότι ὁπόσαι ἡμέραι ἀνθρώπινον καὶ τῆς μερίδος |113| τῶν σῳζομένων, ἀναγκαιότατον ἂν εἴη καὶ ἡμᾶς διὰ τοῦτο τῷ τῆς μετανοίας καὶ ἐξομολογήσεως σωτηριώδει χρῆσθαι φαρμάκῳ, εἴ γε ταῖς ἀληθείαις καὶ ἡμεῖς καὶ ἄφεσιν ἁμαρτημάτων εὑρεῖν καὶ σωτηρίας ἐπιτυχεῖν ἐφιέμεθα· οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἀνθρώπους καὶ ἡμᾶς 5 οὔσας καὶ πασχούσας, ὅσα ἡ ἀνθρωπίνη φύσις πάσχειν ὑπόκειται, μὴ ἁμαρτάνειν καθ' ὥραν μηδ' ὑπὸ τῶν τοῦ ἀντικειμένου πεπυρωμένων βελῶν δεινῶς πλήττεσθαι καὶ δεινῶς τραυματίζεσθαι, |113ᵛ| ὅτι καὶ οὐδείς, φησὶν ἡ γραφή, ἁγνὴν ἔχειν τὴν καρδίαν καυχήσεται, ὅτι καὶ καθαρὸς οὐδείς, ὡς ἠκούσαμεν, ἀπὸ ῥύπου, οὐδ' ἂν μία 10 ἡμέρα ὁ χρόνος πᾶς τῆς ζωῆς αὐτοῦ ᾖ, ὅτι καὶ οὐδὲ οὐρανὸς οὐδὲ ἄστρα καθαρὰ (τὸ τοῦ Ἰὼβ φθέγξομαι) ἐνώπιον τοῦ Θεοῦ· ἐπεὶ δὲ οὕτω καθ' ἑκάστην ὡς ἄνθρωποι ἁμαρτάνομεν καὶ ἐπιστρέφειν ἀπὸ τῆς ἁμαρτίας χρῄζομεν καθ' ἑκάστην, πῶς ἂν ἄλλως ἀπὸ ταύτης γνησίως ἡμεῖς ἐπιστρέψαιμεν, μὴ μετανοίᾳ γνησίᾳ χρησάμεναι πρό- 15 τερον; μετανοήσομεν δὲ γνησίως |114| πῶς, μὴ τὴν ἁμαρτίαν ἐκ καρδίας ἀποφυγοῦσαι καὶ ἐκ καρδίας αὐτὴν βδελυξάμεναι; βδελυξόμεθα δὲ τὴν ἁμαρτίαν πῶς, μὴ δι' ἐξαγγελίας τῶν ἡμετέρων κρυφίων καθαρᾶς καὶ ἀνεπαισχύντου ταύτην, ὥσπερ οὖν καὶ ἄξιον, ἐκπομπεύουσαι. 20

106. Αὕτη δὴ οὖν ἡ ἐξομολόγησις, αὕτη καὶ ἡμῖν εἰς σωτηρίαν ἔσεται φάρμακον, καὶ φάρμακον ὄντως ἰσχυρόν, καὶ φάρμακον ὄντως δραστήριον, ἐξάγον μὲν τὴν μοχθηρὰν καὶ τῶν ἔνδον ὀχληρὰν ὕλην |114ᵛ| τῆς ἁμαρτίας καὶ πόρρω που ῥίπτον αὐτὴν τῆς ψυχῆς, αὐτὴν δὲ καθαῖρον τελείως καὶ τελείως αὐτῇ τὴν ὑγίειαν χαριζόμενον, μόνον 25 ἐὰν μὴ ἐπὶ τὴν ἁμαρτίαν ὡς ἐπὶ ἔμετον ἴδιον κακῶς ἡμεῖς ἐπιστρέψαιμεν, ἣν καλῶς ποιοῦσαι καὶ καλῶς τὰ ἑαυτῶν ἐξαγγέλλουσαι τὸ πρὶν ἐξημέσαμεν ὁμοῦ καὶ ἐστηλιτεύσαμεν· ὕσσωπόν ἐστι καὶ πόα πλυνόντων ἡ ἐξομολόγησις ἄντικρυς, πλύνουσα μὲν καὶ καθαίρουσα πάντας μολυσμούς, πάντας ῥύπους πάσης ἀκαθαρσίας, ὑπὲρ αὐ|115| 30 τὴν δὲ τὴν λευκότητα τῆς χιόνος τὰς ἑαυτῆς μαθητρίας λευκαίνουσα.

---

9. Prov. 20, 9. — 12. Iob 25, 5.

7. καθώραν *cod.* | 15. γνησία *prius bis scriptum* | 18. δὲ *in ras.* | 19. οὖν *supra lin. corr.*

107. Οὐδὲν οὕτω ταχέως ὡς ἡ ἐξομολόγησις ἁμαρτίας ἀφιέναι καὶ συγχωρεῖν δύναται· καὶ μάρτυς οὕτω λέγουσα ἡ ἁγία γραφή· Ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος, ἵνα ἀφῇ τὰς ἁμαρτίας ἡμῖν καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας. 5 Καὶ πάλιν· Εἶπα, φησίν, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ κυρίῳ· καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. Καί· Λέγε, πάλιν φησί, σὺ πρῶτος τὰς ἁμαρτίας σου, |115ᵛ| ἵνα δικαιωθῇς· καί· Δίκαιος, πάλιν φησίν, ἑαυτοῦ κατήγορος ἐν πρωτολογίαις. Ἡμάρτηκα τῷ κυρίῳ μου εἴρηκέ ποτε αὕτη διὰ τοῦ προφήτου 10 καὶ βασιλέως Δαυΐδ· καὶ ἤκουσε δι' ἑτέρου τοῦ Νάθαν προφήτου παρὰ τοῦ Θεοῦ παραυτίκα· Καὶ κύριος ἀφείλετο τὴν ἁμαρτίαν σου. Μέγα ἴαμα ἡμῖν ἁμαρτανούσαις αὕτη ἡ ἐξομολόγησις καὶ στερρότατος χαλινός, ὥστε μὴ ἁμαρτάνειν, καὶ καρτερώτατον ἔρυμα. Ἐξομολογεῖσθε, γάρ φησιν ὁ θεάδελφος, ἀλλήλοις τὰ παραπτώ- 15 ματα ὑμῶν, ὅπως ἰαθῆτε. Καὶ ὁ τῆς |116| Κλίμακος μέγας πατὴρ Ἰωάννης· Μώλωπες θριαμβευόμενοι, εἴρηκεν, οὐ προκόψουσιν ἐπὶ τὸ χεῖρον, ἀλλ' ἰαθήσονται· καί· ψυχὴ ἐξαγόρευσιν ἐννοουμένη, ὡς ὑπὸ χαλινοῦ ταύτης κατέχεται μὴ ἁμαρτάνειν. Λύχνος τοῖς ποσὶν ἡμῶν μέγας καὶ φῶς ταῖς τρίβοις ἡμῶν μέγα ἡ ἐξομολόγησις 20 πέφυκε· διὰ τοῦτο καὶ αἱ ταύτῃ γε χρώμεναι ὡς δεῖ καθ' ἑκάστην καὶ ὡς ὑπὸ μεγάλου φωτὸς φωτιζόμεναι οὔμενουν ἐπ' ὄρη σκοτεινά ποτε προσκόψουσι καὶ πολέμια· ὥσπερ αὖ καὶ τῷ ἐναντίῳ |116ᵛ| τὸ ἐναντίον ἐξ ἀναγκαίου ἀκολουθεῖ· αἱ γὰρ μὴ ταύτῃ χρώμεναι καθ' ἡμέραν ὡς γοῦν προσῆκεν ὡς ἐν σκότῳ τινὶ πορεύονται βαθυτάτῳ καὶ 25 τυφλῶν κατ' οὐδὲν διάκεινται ἄμεινον, ἀδιαλείπτως εἰς τὸ ἁμαρτάνειν προσπταίουσαι καὶ προσκρούουσαι, ὡς πληροῦσθαι τὸ τῆς προφητείας καὶ ἐπ' αὐταῖς καὶ ἄγαν οἰκείως ἐκεῖνα λεγούσης· ψηλαφήσουσιν ὡς τυφλὸς τοῖχον καὶ ὡς οὐκ ὑπαρχόντων ὀφθαλμῶν ψηλαφήσουσιν.

---

3. 1 Joh. 1, 9. — 5. Psalm. 31, 5. — 7. Isai. 43, 26. — 8. Prov. 18, 17. — 9. 2 Reg. 12, 13. — 14. Iac. 5, 16. — 16. Iohannis Climaci Scala Paradisi 4 P. G., 88, 681. — 17. Ibid., 705. — 18. Psalm. 118, 105. — 28. Isai. 59, 10.

1. ἡ *supra lin.* | 28. καὶ *in ras.*

108. Ἀλλ' αἰσχύνη τις πρόσεστι τῷ πράγματι τῆς ἐξομολογήσεως· οἶδα τοῦτο |117| κἀγὼ ἀληθῶς· ἀλλ' οἶδα πάλιν καὶ τοῦτο ὡς ἀληθῶς ὅτι ἡ αἰσχύνη αὕτη μέρος οὖσα τῆς ἐκεῖθεν κολάσεως, ὡς ἐμάθομεν, ὑποτέμνειν καὶ ὑφαιρεῖν τι τῶν ἀποκειμένων κολάσεων δύναται· πόσον δέ ἐστι καὶ ἀνεπαχθέστερον καὶ κουφότερον τὸ ἐφ' ἑνὸς αἰσχυνθῆναι μόνου, καὶ τούτου ἁγίου καὶ τούτου συμπαθοῦς καὶ εὐσπλάγχνου πατρός, ἤπερ ἐνώπιον ἐκείνου τοῦ πανδήμου καὶ παγκοσμίου θεάτρου ὑπό τε ἀγγέλων συγκροτουμένου καὶ ἀνθρώπων πάντων ὁμοῦ ἐλεγχθῆναί τε καὶ εἰς αἰῶνας καταισχυν|117ᵛ|θῆναι, πέπεισμαι ὡς οὐδείς ἐστιν ὃς ἀγνοεῖ· ὅπερ ἡκεῖς οὐ πεισόμεθα, τῇ χάριτι τοῦ Χριστοῦ συνιοῦσαι, ὅσον τὸ αὐτῆς τῆς ἀρετῆς ἀγαθόν, καὶ πάντοτε προθύμοις καὶ καθαραῖς ἐξομολογήσεσι χρώμεναι.

109. Προφθάσωμεν οὖν τὸ πρόσωπον τοῦ Θεοῦ ἐν ἐξομολογήσει, φοβερὸν ἐπὶ τοὺς ἀμετανόητα ἁμαρτάνοντας ἐν τῷ μέλλοντι φανησόμενον· ἐξομολογώμεθα, ὡς καιρὸν ἔχομεν· μετακαλώμεθα τὸν πνευματικὸν ἰατρὸν ἡμῶν συνεχέστερον πρὸς ἡμᾶς, μᾶλλον δ' ἀεί, καὶ ἀνακαλύπτωμεν αὐτῷ καθαρῶς καὶ ἀνεπαισχύντως |118| πάντα τὰ ἐν ἡμῖν, τὰ ἔργα, τοὺς λόγους, τὰ διανοήματα, ὅτι καὶ περὶ πάντων δώσομεν λόγον ἐν ἡμέρᾳ δικαιοκρισίας Χριστῷ, ἐὰν ἄχρι τέλους ταῦτα παρ' ἡμῖν ἀνεξάγγελτά τε καὶ ἀνεξέλεγκτα μείνοιεν· καὶ δεικνύωμεν αὐτῷ, ὡς εἰσὶν ἐν ἡμῖν ἔτι τὰ μέλη τῆς καρδίας νεότρωτα καὶ διὰ τοῦτο εὐΐατα, πρὶν ὀζέσαι τε καὶ σαπῆναι ταῦτα καὶ διὰ τοῦτο γενέσθαι δυσίατα.

110. Τὸ σωθῆναί τινα ταύτης δίχα τῆς ἀρετῆς τῶν ἀμηχάνων ἐστί· διόπερ ἡμεῖς μηδέποτε |118ᵛ| περὶ τοῦτο τὸ ἀγαθὸν ἀμελήσωμεν, ἀεὶ δὲ μάλιστα τῷ τοιούτῳ καλῷ φαρμάκῳ χρῆσθαι διὰ σπουδῆς καὶ ἀγῶνος ὅτι πλείστου ποιώμεθα.

111. Ὁ πνευματικὸς δὲ ἰατρὸς καὶ πατὴρ οὗτος τοιοῦτος ἡμῖν ἐκλεγέσθω ἀεί, ὥστε ἱκανὸς εἶναι πρὸς τὸ ἔργον τοῦτο τὸ μέγα, τὴν ἰατρείαν φημὶ τῶν ψυχῶν, καὶ ὥστε ἔχειν ἀκριβῶς εἰδέναι, πῶς ἐπιστημόνως τὴν σωτηρίαν οἰκονομήσει ὑμῖν, εὐφυῶς εὑρίσκων καὶ εὐφυῶς κεραννύων τὰ ταύτης δραστήρια φάρμακα· ὅσοι γὰρ ἐκ τῆς ἀπειρίας τῶν |119| πνευματικῶν τουτωνὶ ἰατρῶν οὔτε οὐδὲν ἐξομο-

---

3. καὶ τοῦτο ὡς ἀληθῶς *in ras.* | 13. οὖν *supra lin.* | 18. ὑμῖν *cod.*

λογησάμενοι ὠφελήθησαν καὶ εἰς ἀπόγνωσιν κατωλίσθησαν παντελῆ, τοῦτο δὴ τὸ τοῦ σατὰν καὶ τῆς ἀπωλείας δηλαδὴ ἑτοιμότατον βάραθρον, ἀπὸ τῶν ἱερῶν τῶν πατέρων βιβλίων ἠκούσαμεν.

κα'.

Πῶς δεῖ τὴν ἑορτὴν τῆς Θεοτόκου καθ' ἕκαστον ἔτος ἐπιτελεῖν.

112. Ἐπεὶ δὲ καὶ ἑορτάζειν χρὴ καθ' ἕκαστον ἔτος ὑμᾶς καὶ μηδέποτε οὕτως ἑορτάζειν διαλιπεῖν, δέον ἐμὲ καὶ περὶ τούτου διαμνη-|119ᵛ|μονεῦσαι καὶ διατυπώσασθαι, πῶς ποτε ἄρα καὶ τὸ τοιοῦτον ἔργον τὸ θεοφιλὲς παρ' ὑμῖν τελεσθήσεται. Ἑορτὴν οὖν ἡμᾶς ἄγειν κατ' ἔτος τῇ πανυπεράγνῳ μου δεσποίνῃ καὶ θεομήτορι, καὶ ταύτην λαμπρὰν ἄγειν καὶ ταύτην τῇ ἁγίᾳ κοιμήσει ἐκείνης ἄγειν, τῆς πεντεκαιδεκάτης τοῦ αὐγούστου ἐνισταμένης, βούλομαί τε καὶ διατάττομαι· καθ' ἣν ἑορτὴν ἔσεσθε μὲν ὑμεῖς καὶ παννύχιον ἀγρυπνοῦσαι καὶ ψάλλουσαι, ἀνάψετε δὲ καὶ φῶτα πολυτελῆ, μανουαλίων ἐξ πε|120|πληρωμένων ὄντων τῶν πάντων κηρῶν ἀναλόγων ταύτῃ τῇ μεγάλῃ καὶ φαιδρᾷ ἑορτῇ· ἀνάψετε καὶ τὰς μικρὰς ἁπάσας φωταγωγούς, λέγω δὴ τὰ οὕτω κοινῶς λεγόμενα πολυκάνδηλα· προσοίσετε καὶ θυμιαμάτων τὰ εὐωδέστερα καὶ ἅπαντα κοσμήσετε τὸν ἅγιον τοῦ Κυρίου νεὼν πρὸς τὸ εὐπρεπέστερόν τε καὶ χαριέστερον· δοθήσονται καὶ κηρία πάσαις ταῖς ἀδελφαῖς ἐν τῇ ἀγρυπνίᾳ. Καὶ ταῦτα μὲν ὧδε ποιήσετε. Ἐν δὲ τῇ ἑστιάσει καὶ τραπέζῃ χρήσεσθε πολυελεστέρᾳ |120ᵛ| καὶ τῆς συνήθους ἀφθονωτέρᾳ παρὰ πολύ· ὡς ἂν δὲ τοιαύτη ὑμῖν ἑτοιμασθείη ἡ τράπεζα τῆς τροφῆς, καὶ τρία ἐνταῦθα νομίσματα χρύσινα καταβάλλεσθαι διατάττομαι εἰς τὴν τῶν χρησίμων ἐξώνησιν· οὐ μόνον δὲ ἀλλὰ καὶ τοῖς κατὰ Χριστὸν ἀδελφοῖς μου τοῖς δεομένοις ἐν τῷ πυλῶνι σίτου μὲν ἄρτους ἓξ μοδίων ἀννονικῶν, οἴνου δὲ τετάρτια παρέξετε τέτταρα, εἴτουν ἓν μέτρον θαλάττιον· πλὴν ἀλλ' οὕτω μὲν ὑμεῖς ἑορτάσετε, καὶ ἑορτάσετε καθ' ἑαυτὰς

---

9. τὸ *supra lin. corr.* | 11. κατέτος *cod.* | 14. ἣν *supra lin.* | 28. *prius* τεταρα *cod.*

μόνας |121| καὶ μετά γε τοῦ συνήθους ἱερέως ὑμῶν, τὴν σύμπασαν ἀκολουθίαν ἐκπληροῦσαι τῆς ἀγρυπνίας καὶ μηδένα τῶν ἱερέων ἄλλον μετακαλούμεναι ἔξωθεν.

κβ'.

Πῶς δεῖ ἐκτελεῖσθαι τὰ μνημόσυνα τῶν ἀειμνήστων γονέων τῆς κτητορίσσης ἔτι τε καὶ τοῦ μακαρίτου κτήτορος τῆς ἱερᾶς ταύτης μονῆς ναὶ μὴν καὶ τῆς κτητορίσσης αὐτῆς [καὶ τῶν διαδόχων αὐτῆς καὶ παίδων.]. 5

113. Ἡνίκα δὲ καὶ ἡ ὡρισμένη κατὰ περίοδον τοῦ ὅλου ἐνιαυτοῦ 10 ἐπισταίη (ἡ εἰκοστὴ δὲ καὶ πέμπτη αὕτη τοῦ ὀκτωβρίου μηνός) καὶ δεῖ κατ' ἐκείνην τὴν |121ᵛ| ἡμέραν ἐπιτελεῖν ἀπαραλείπτως τὰ μνημόσυνα τῶν ἐν μακαρίᾳ τῇ λήξει καὶ ἀοιδίμων γονέων μου, Καλλινίκου μοναχοῦ καὶ Μαρίας, οὕτως ὑμεῖς κἀκεῖνα μετὰ πολλῆς χαρᾶς καὶ σπουδῆς ἐκτελέσετε· κοσμήσετε μὲν τὸν ἱερὸν καὶ σεβάσμιον τῆς 15 Θεοτόκου μου οἶκον ἑσπέρας, ἑτοιμάσετε δὲ καὶ τὰ ἓξ μανουάλια, καὶ ἐνταῦθα πεπληρωμένα τὰ πάντα κηρῶν, καὶ τὰ πάντα εἰς ἄναψιν ἑτοιμάσετε. Οὐ μὴν δὲ ἀλλὰ καὶ τὰ ἐξ ἔθους ἐπὶ τοῖς κεκοιμημένοις πιστοῖς γίνεσθαι |122| κόλλυβα ἑτοιμάσετε· καὶ ἑνδεκα μετακληθέντων ἔξωθεν ἱερέων καὶ δυόδεκα γενομένων τῶν πάντων μετὰ τοῦ 20 ἱερέως τοῦ ὑμετέρου, ἑσπέρας μὲν παρὰ τούτων μόνων, οὐχὶ δὲ καὶ παρ' ὑμῶν — οὐ γὰρ ἐφεῖται ὑμῖν ἡ μετὰ τούτων συμψαλμῳδία καὶ σύστασις — τὸ παραστάσιμον ἥ τε ὑπὲρ ἐκείνων εὐχὴ γενήσεται καὶ ἡ δέησις.

114. Πρωΐας δὲ μετά γε τῆς αὐτῆς φωταγωγίας καὶ κολλύβων, 25 τοῦ συνήθους ἱερέως μόνου τὴν φρικτὴν καὶ μεγάλην ἐκτελοῦντος μυσταγωγίαν, τὰ τῆς ἱερᾶς συνάξεως ταύτης ἅπαντα ὑμεῖς ὡς ἔθιμον ἐκτελέσετε. Μετὰ δὲ τὴν ταύτης ἐκπλήρωσιν, εἰσελεύσεσθε εἰς τὴν τράπεζαν τῆς διαίτης, δαψιλεστέραν καὶ τότε καὶ πλουσιωτέραν

---

8. (καὶ — παίδων) *add. al. manu.* | 18. ἐξέθους *cod.* | 21. ἡμετέρου *cod.*

ἑτοιμασθεῖσαν ταύτην ὑμῖν, δύο νομισμάτων μόνων, καὶ τούτων χρυσίνων, ἐνταῦθα καταβληθέντων ἐκ τῶν κοινῶν· καὶ φάγεσθε οὕτω καὶ εὐφρανθήσεσθε μάλα καὶ παρακληθήσεσθε τὰς καρδίας εἰς τὴν τῶν ἐμῶν ἀειμνήστων πατέρων σωτηρίαν καὶ μακαρίαν ἐκείνων
5 ἀνάπαυσιν.

115. Καὶ ὑμεῖς μὲν οὕτως. Οἱ κατὰ Θεὸν δὲ |123| ἀδελφοί μου οἱ πένητες πάλιν ἐν τῷ πυλῶνι λήψονται παρ' ὑμῶν ἄρτους μὲν σίτου μοδίων τεττάρων ἀννονικῶν, οἴνου δὲ τρία τετάρτια ὑπὲρ ψυχικῆς τῶν μνημονευθέντων καὶ ὑμῶν τῶν οὕτω ποιησαμένων τὰ ἐκείνων
10 τοιαῦτα μνημόσυνα.

116. Ὡσαύτως ποιήσετε μνημόσυνα καθ' ἑκάστην τοῦ χρόνου περίοδον τὴν ἕκτην τοῦ φευρουαρίου μηνὸς καὶ ὑπὲρ τοῦ μακαρίου κτήτορος ὑμῶν τοῦ μεγάλου στρατοπεδάρχου Ἀγγέλου Δούκα τοῦ Συναδηνοῦ κυροῦ Ἰωάννου, τοῦ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχή-
15 ματος |123ᵛ| μετονομασθέντος Ἰωακεὶμ μοναχοῦ· πλὴν οὕτως ποιήσετε ἀπαραλλάκτως ἐν ἅπασιν, ὡς ὑπὲρ τῶν ἐμῶν μακαρίων καὶ ἁγίων γεννητόρων, φημὶ δὴ τοῦ πανευτυχεστάτου σεβαστοκράτορος Κομνηνοῦ τοῦ Παλαιολόγου Δούκα τοῦ Ἀγγέλου κυροῦ Κωνσταντίνου, τοῦ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθέντος Καλλινίκου μονα-
20 χοῦ, τοῦ πατρός μου καὶ τῆς ἁγίας μου μητρὸς Βραναίνης Κομνηνῆς Λασκαρίνης Καντακουζηνῆς τῆς Παλαιολογίνης, ἔν τε μανουαλίοις καὶ τῇ ἄλλῃ πάσῃ ἑτοιμασίᾳ τῇ παρακλήσει τε, ταῖς θείαις |124| ἱερουργίαις φημί, ἔν τε τῇ τραπέζῃ τῶν ἀδελφῶν καὶ τῇ τῶν ἐνδεῶν μεταδόσει ἐν τῷ πυλῶνι.

25 117. Καὶ ὑπὲρ ἐμοῦ δὲ τῆς ταπεινῆς ὁμοίως ποιήσετε, ἡνίκα δηλονότι κἀμὲ Θεὸς ἐκ τῶν ζώντων γενέσθαι ὡς οἶδεν ἐκεῖνος οἰκονομήσειεν.

118. Τῆς δὲ περιποθήτου ἡμῶν θυγατρὸς κυρᾶς Εὐφροσύνης τῆς Παλαιολογίνης τὰ μνημόσυνα ἐβουλόμην καὶ κρείττονα καὶ φιλοτι-
30 μότερα γίνεσθαι ἢ τὰ τῶν αὐτῆς γεννητόρων ἡμῶν καθ' ἣν ἂν ἡμέραν ἀπὸ τῆς ἐνταῦθα ζωῆς πρὸς τὴν κρείττονα καὶ |124ᵛ| ἀγήρω

---

11. *rubrica in marg. inf.* : περὶ τοῦ κτήτορος | 20. αναίνης *in ras.* | 21. *prius* Λασκαρίνας | 25. *rubrica in marg. sup.* : περὶ τῶν δύο κτητορισσῶν.

μετενεχθείη, ἅτε καὶ ἐκ βρέφους τῷ Θεῷ παρ' ἡμῶν ἀνατεθειμένης καὶ αὐτῆς δὲ οἴκοθεν πᾶν ἀρετῆς εἶδος μετὰ πολλῆς τῆς περιουσίας μετελθεῖν προελομένης καὶ τοῖς μετ' αὐτὴν παραδούσης εἰς μίμησιν. Ἔδει τοίνυν τὴν τοιαῦτα μὲν ἐκ βρέφους ἐκλεξαμένην ἀγαθά, ἀπράγμονα δηλαδὴ ἡσύχιον ἀκτήμονα καὶ ἐλεήμονα βίον, τοιαῦτα δὲ τελειώσασαν, τελείας τυχεῖν καὶ τῆς ὀφειλομένης τοῖς ἀποιχομένοις ὁσίοις τελετῆς· ἐπεὶ δὲ αὐτή, ὡς ἐν ἅπασι τὸ φιλότιμον |125| ἀπωθεῖται τὸ μέτριον δὲ καὶ ἀπέριττον ἐκδιώκει, ἐδεήθη κἀμοῦ μηδὲν περὶ τῶν ἰδίων αὐτῇ μνημοσύνων προδιατάξασθαι καὶ δηλῶσαι, γινέσθω καὶ ἐκτελείσθω ταῦτα, ὡς αὐτὴ προείλετο καὶ ἠγάπησε καὶ τελευτῶσα διατυπώσειεν.

119. Περὶ τῶν δύο υἱῶν τῆς κτητορίσσης καὶ κτητόρων. Περὶ μέντοι τῶν μνημοσύνων τῶν περιποθήτων μου υἱῶν, τοῦ τε κυροῦ Θεοδώρου τοῦ Δούκα καὶ πρωτοστράτορος καὶ κυροῦ Ἰωάννου τοῦ Παλαιολόγου καὶ μεγάλου κονοσταύλου καὶ τῶν συμβίων αὐτῶν, ἡνίκα δηλονότι καὶ αὐτοὺς ὁ Θεὸς ἐκ τῶν ζώντων γενέσθαι ὡς οἶδεν ἐκεῖνος ᾠκονομή|125ᵛ|σειε, γίνεσθαι τάττω κἀκεῖνα ὡς καὶ τὰ τῶν ἐμῶν ἁγίων καὶ τρισμακαρίστων ἀοιδίμων γονέων ἀπαραλλάκτως καὶ ἡμῶν τῶν αὐτῶν γεννητόρων ἔν τε τῇ δαψιλείᾳ τῶν φώτων καὶ τοῖς λοιποῖς ἅπασιν.

κγ'.

Τίνα εἰσὶν ἅπερ ἀφιεροῦνται τῇ Θεοτόκῳ ὑπὲρ οἰκονομίας καὶ διατροφῆς τῶν θεραπαινίδων αὐτῆς.

120. Ἀλλὰ ταῦτα μέν, ὥστε εὐαρέστως πολιτεύεσθαι καὶ εὐαρέστως βιοῦν ὑμᾶς τῷ Θεῷ καὶ ὥστε σῴζεσθαι ὑμῶν τὰς ψυχάς, τῇ |126| βίβλῳ ταύτῃ διετυπώσαμεν, τὰ μὲν πρὸς τὴν καθηγουμένην ἀφορῶντα καὶ ὑπομνήσεως ἔχοντα λόγον, τὰ δὲ πρὸς τὴν συνοδίαν πᾶσαν τῶν ἀδελφῶν καὶ διδασκαλίαν ἐκείνων ὑπάρχοντα καὶ παραί-

---

16. εἶδεν *cod.* | 29. ἐκεῖνα *cod.*

νεσιν, ὅ καὶ ἀρχομένη τοῦ λόγου ἔφθην εἰποῦσα ἐγώ. Πλὴν οὐ ξένα τινὰ διετυπώσαμεν καὶ τῶν πατρικῶν ἀπάδοντα διατάξεων, τὰ πάντα δὲ ὡς ἐγὼ οἴομαι καί γε ἀληθῶς οἴομαι συμφωνοῦντα ἐκείναις ἐν ἅπασι καὶ ξυμβαίνοντα. Ἣν δὴ βίβλον καὶ ὀφείλετε συνεχέστερον |126ᵛ| ὑμεῖς ἐπὶ τῆς τραπέζης ἀντ' ἄλλης τινὸς βίβλου ἐν ἐπηκόῳ πασῶν ἀναγινώσκειν ὑμῶν καὶ προσεχόντως ἀναγινώσκειν καὶ καθ' ἑκάστην νουμηνίαν ἀναγινώσκειν. Οὕτω γὰρ ἂν πάντως ταῖς ὑμετέραις ἀκοαῖς ἕνηχα ὄντα τὰ ἐγγεγραμμένα καὶ τετυπωμένα οὔτε οὐδ' ὅλως ξυγχωρήσει τῇ λήθῃ ποιῆσαι τὸ ἑαυτῆς, ὑμᾶς ἐπιλαθέσθαι τούτων ποιούσῃ ἐκ τοῦ σπανίως ταῦτα ἀναγινώσκειν, καὶ τοῦ τὸν ἡμέτερον θεοφιλῆ σκοπὸν παρ' ὑμῶν εἰς ἔργον προβῆναι πρόξενα ἔσονται· ἥντινα |127| καὶ ἀφίημι ὑμῖν ἐν πρώτοις ἀντὶ παντὸς μεγάλου πλούτου καὶ ἀντ' ἄλλης πάσης πολυόλβου κληρονομίας, τὸ κάλλιστον πάντων ὧν ἔχω καὶ τιμιώτατον· καὶ ἀφίημι εἰς μεγάλην ὠφέλειαν ἐσομένην τῶν ὑμετέρων ψυχῶν τῇ χάριτι τοῦ Χριστοῦ καὶ τῇ τῆς Θεοτόκου μου ἀντιλήψει καὶ εὐσπλαγχνίᾳ εἰς περιποίησιν σωτηρίας, εἰς οἰκοδομὴν περισσοτέραν ὑμῶν, εἰς ἀσφάλειαν πλείονα· καὶ ταύτην μὲν οὕτως ἀφίημι ταῖς κατὰ Χριστὸν πεποθημέναις μου ἀδελφαῖς.

121. Ἀφίημι δὲ καὶ σωματικῆς ἕ|127ᵛ|νεκα χρείας καὶ οἰκονομίας ὑμῶν καὶ ἅπαν τὸ ἥμισυ τοῦ ὅλου μου γονικοῦ κτήματος τοῦ οὕτω πως ἐπικεκλημένου ἡ Πύργος εἴ τι δ' ἂν καὶ εἴη τὸ ἥμισυ τοῦτο, εἴτε γῆ εἴτε ἀμπέλιον εἴτε τι ἕτερόν ἐστι· τοῦτο ὡς ἔφην τὸ ἥμισυ νῦν μὲν παρ' ἐμοὶ ἔσεται εὑρισκόμενον καὶ παρ' ἐμοῦ ἰδιαζόντως τοῦτο κυριευθήσεται εἰς ἐμοῦ τε καὶ τῆς σφόδρα πεφιλμένης ἐμοὶ θυγατρὸς περιποίησιν καὶ μετρίαν παράκλησιν· |128| ὡσαύτως καὶ τὸ διακείμενον περὶ τὰ Παραπόλια χωρίον λεγόμενον ἡ Αἶνος, ὑπερπύρων τετρακοσίων ποσούμενον, ἀφ' ὧν τὰ μὲν σ' διὰ θείου καὶ προσκυνητοῦ χρυσοβούλλου τῇ μονῇ προσεκτήθη ὡς γονικὸν ἐμοί, τὰ δὲ ἕτερα σ' παρὰ τοῦ περιποθήτου μου υἱοῦ πρωτοστράτορος προσηνέχθη ἐκ τοῦ πρὸς αὐτὸν θείου καὶ σεπτοῦ χρυσοβούλλου ἀποκοπέντας.

---

20. φίημι *cod.* | 22. πύργους *cod.* | 26. ὁπηνίκα δὲ ἐμοὶ μὲν παντοδυνάμῳ νεύσει *add. littera rubra dein del.*

122. Ὁμοίως ἀφίημι καὶ τὸ εὑρισκόμενον ἀμπέλιον τὸ καταφυτευθὲν ἐξ οἰκείων ἀναλωμάτων τῆς μονῆς ἐν τῇ τοποθεσίᾳ τῆς Σελοκάκας ὡσεὶ μοδίων · ἕτερον |128ᵛ| ἀμπέλιον τὸ πλησίον τοῦ ἁγίου Νικολάου τοῦ Μεσομφάλου μετὰ τῶν οἰκειακῶν αὐτοῦ ὁσπητίων, ὅπερ ἐξηγοράσθη μὲν πρὸ χρόνων παρά τινος ἐπικεκλημένου τοῦ Καλιγᾶ εἰς ὑπέρπυρα τετρακόσια, χέρσον ὄν, ὕστερον δὲ κατεφυτεύθη παρ' ἡμῶν εἰς ἀμπέλιον μοδίων · ἕτερον ἀμπέλιον προσενεχθὲν παρὰ τοῦ περιποθήτου μου ἀνεψιοῦ, υἱοῦ τῆς ὑψηλοτάτης δεσποίνης τῶν Βουλγάρων, κυροῦ Ἰωάννου τοῦ Παλαιολόγου Ἀγγέλου τοῦ Βρανᾶ τοῦ μετονομασθέντος διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος Ἰωάσαφ μοναχοῦ, πλησίον τῆς τοῦ Κοσμιδίου |129| εὑρισκόμενον γῆς, ὡσεὶ μοδίων · ἕτερον ἀμπέλιον, ὅπερ ὁ αὐτὸς δέδωκε χάριν ἀδελφάτων τῆς αὐτοῦ γυναικὸς ἐν τῇ τοῦ Κοσμιδίου γῇ, δι' οὗ καὶ κατ' ἔτος ἐπιδίδοται τῇ μονῇ τῶν Κοσμιδιωτῶν χάριν τέλους ὑπέρπυρα ὀκτώ, μοδίων · ἕτερον χωρίον περὶ τὴν θρακικὴν Ἡράκλειαν τὸ ἐπικεκλημένον τοῦ Μωροκουμούλου, ἐν ᾧ ὑπάρχει καὶ γῆ Διακεφαλαίου. Ἕτερον ἀμπέλιον, ὅπερ προσήνεγκε τῇ μονῇ ὑπὲρ ψυχικῆς αὐτῆς σωτηρίας ἡ περιπόθητος ἐμοὶ νύμφη κυρὰ Θωμαΐς Παλαιολογίνα ἡ Καντακουζηνή, μοδίων , ἐν τῇ τοποθεσίᾳ εὑρισκόμενον |129ᵛ| χωρίου τοῦ ἐπικεκλημένου τὸ Κανίκλειον.

123. Ὡσαύτως ἀφίημι ὑμῖν καὶ τὸ πέραν ταύτης τῆς βασιλίδος τῶν πόλεων ἐν ταῖς Πηγαῖς διακείμενον γονικόν μου ἀμπέλιον, ὅσον ἄρα καὶ ἔστιν, ὑμῖν ἀφίημι κἀκεῖνο · ὁμοίως καὶ τὸ ἕτερον ἀμπέλιον τὸ καὶ αὐτὸ εὑρισκόμενον ἐν τῇ τοιαύτῃ τοποθεσίᾳ τῶν Πηγῶν ὑμῖν ἔστω εἰς διακράτησιν. Καὶ ἔσονται ταῦτα ὑμῖν ἀπό γε τοῦ νῦν ὡς ὑμέτερα γονικὰ κτήματα καὶ εἰς τοὺς ἑξῆς τε καὶ διηνεκεῖς ἅπαντας χρόνους, μᾶλλον δὲ ἔσεται ταῦτα ὡς ἱερὰ ἀναθήματα |130| εὐλόγως καὶ δικαίως ἀνατεθέντα καὶ ἀφιερωθέντα τῇ πανυπεράγνῳ μου δεσποίνῃ καὶ θεομήτορι · ἃ καὶ οὐδείς ποτε τῶν ἁπάντων ὑμῶν ἀφαιρήσεται ἢ ἀποσπάσει τὸ σύνολον, πλὴν εἰ μὴ ἄρα γε βούλεται, ὅστις ἂν ὁ τοιοῦτος καὶ

3, 7, 12, 15, 19. *vacat in cod. locus numeri.* — 16. διακεφαλαΐου *cod.*

εἴη, πρὸς τῷ ἱερόσυλος γεγονέναι τε καὶ κληθῆναι ἔτι καὶ τὰς ἀπ' αἰῶνος ἐξενεχθείσας φρικωδεστάτας ἀρὰς ἅμα καὶ ἀποφάσεις κατὰ πάντων, ὅσοι τοὺς ἱεροὺς δηλονότι νόμους τῆς ἀληθείας καὶ τῆς δικαιοσύνης κατεπάτησαν καὶ ἠθέτησαν, καθ' ἑαυτοῦ ἐπισπάσασθαι· 5 ἀλλὰ ταῦτα μὲν οὕτως.

124. Ἐπεὶ δὲ ἐγὼ διὰ τὸ |130ᵛ| ἀσθενὲς τῆς φύσεως τῆς ἡμετέρας ἀνθρωπίνης καὶ περιποίησιν τῆς κατὰ πάντα φιλτάτης σφόδρα ἐμῆς θυγατρὸς καὶ μετρίαν παράκλησιν καὶ ψυχαγωγίαν τῶν αὐτῆς πολλῶν τε καὶ μεγάλων ἀρρωστημάτων ἰδιαζόντως ἀπεκράτησα 10 ἐμαυτῇ ταῦτα, τὸ ἥμισυ δηλαδὴ τοῦ ὅλου μου γονικοῦ κτήματος τοῦ οὕτω πως ἐπικεκλημένου ἡ Πύργος, τὸ ἐν τοῖς Παραπολίοις χωρίον Κανίκλειον ὠνομασμένον γονικόν μου κτῆμα, τὸ πλησίον τοῦ μοναστηρίου ἡμῶν περιβόλιον καλούμενον τοῦ Γυμνοῦ καὶ τὸ μέγα ἀμπέλιον, ὅπερ ἀντεχαρίσατό μοι ὁ περιπόθητός μου υἱὸς πρωτοστράτωρ, 15 καὶ τὰ πέριξ |131| αὐτοῦ οἰκήματα τὰ κατὰ τὴν δημοσίαν ὁδὸν τῆς Κυριωτίσσης ἔγγιστα, βούλομαι καὶ τάττω ὅλῃ ψυχῇ καὶ προθέσει μετὰ τὴν ἐμὴν ἐνθένδε ἀποβίωσιν καὶ τῶν παρόντων ἀπαλλαγὴν κατέχεσθαι ταῦτα καὶ κυριεύεσθαι παρὰ τῆς ἐμῆς φιλτάτης θυγατρὸς ὥσπερ καὶ παρ' ἐμοῦ εἰς μετρίαν αὐτῆς παράκλησιν καὶ θεραπείαν, 20 ὡς κυρίας οὔσης καὶ κληρονόμου αὐτοῦ τε τοῦ μοναστηρίου καὶ πάντων τῶν ἐμῶν. Ἔπειτα δὲ ὁπηνίκα καὶ αὐτὴ μετὰ μακρότατον καὶ πιότατον γῆρας εἰς τὴν ἀγήρω καὶ ἀμείνω μεταχωρήσειε λῆξιν τῷ ἑαυτῆς ἀθανάτῳ νυμφίῳ εἰς αἰῶνας συνεῖναι |131ᵛ| καὶ συνευφραίνεσθαι, τηνικαῦτα καὶ τὸ ἕτερον ἥμισυ τοῦ κτήματος τῆς Πύργου καὶ 25 τὰ προειρημένα ἕτερα, ὅσα ἰδίως εἰς ἡμετέραν κυβέρνησιν παρ' ἐμοῦ ἔπειτα παρὰ τῆς φιλτάτης μοι θυγατρὸς ἐκρατοῦντο, δοθήσονται ἀνυπερθέτως, ἔνθα ἂν βουληθείη καὶ διακρίνειεν αὐτή, καθὼς ἂν καὶ δίκαιόν ἐστιν.

---

11. οὕτω πως ἐπικεκλημένου *in ras.* | 23. καὶ συν *add. cod.*

Κύριε, βοήθει ταῖς σαῖς δούλαις εἰς ἐκπλήρωσιν τῶν γεγραμμένων.

κδ'.

Πρὸς πάσας τὰς ἀδελφὰς καὶ αὐτὴν δὲ τὴν ἡγουμένην ἐπιλογικά τε ἅμα καὶ προτρεπτικὰ πρὸς τὴν φυλακὴν τοῦ τύπου καὶ τὸ μηδ' ὅλως αὐτὸν παραβαίνεσθαι.

125. |132ᵛ| Ἃ μὲν οὖν ἡμᾶς ἔδει τῆς ὑμετέρας ἕνεκα ψυχικῆς ὠφελείας καὶ σωτηρίας ναὶ μὴν καὶ τῆς σωματικῆς χρείας, ὦ φίλη μοι κατὰ Χριστὸν συνοδία, καὶ τυπῶσαι καὶ διατάξασθαι, ταῦτα δὴ καὶ ἐτυπώσαμεν ὡς γοῦν ὁρᾶτε ἐν τῷδε καὶ διεταξάμεθα, εἰ καὶ μὴ τῆς χρείας ἀξίως, προθυμίας γοῦν καὶ τοῦ κατὰ δύναμιν οὐδέν τι |133| ἐνδέοντα· ὑμῖν δὲ τοῦ λοιποῦ μελήσει, πῶς τε καὶ ἀκοῦσαι ταῦτα γνησίως, πῶς καὶ γνησίως ταῦτα εἰς ψυχὴν παραδέξασθαι καὶ πῶς μετὰ ταῦτα καὶ ἐν αὐτοῖς τοῖς ἔργοις ἀπαράβατα τὰ πάντα φυλάξαι διαγωνίσεσθε, ὅπερ ἐστὶν ἡμῖν τοῦ σκοποῦ καὶ πάσης τῆς σπουδῆς τὸ κεφάλαιον· οὐ γὰρ τὸ ἀκοῦσαι μόνον καὶ ἀποδέξασθαι μόνον τοὺς ἀγαθοὺς λόγους τῆς σωτηρίας δικαιοῦν ἰσχύει τὸν μόνως τούτων ἀκούοντα, τὸν μόνως τούτους ἀπο|133ᵛ|δεχόμενον, ἀλλὰ πρὸς τῇ ἀκοῇ καὶ τῇ ἀποδοχῇ χρὴ προστεθῆναι καλῶς καὶ τὸ ἔργον· οὕτω γάρ τις καὶ δίκαιος γίνεται τέλειος· οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ (ῥῆσις αὕτη τοῦ ἀποστόλου), ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται. Σαφῶς δὲ δείξετε ἀμετακίνητα τὰ τετυπωμένα φυλάττουσαι, ἐὰν πρὸς μὲν τὴν διδάσκαλον καὶ κατὰ πνεῦμα μητέρα ὑμῶν οὕτως εἴητε διακείμεναι ὥσπερ ἂν καὶ πρὸς αὐτὸν τὸν Χριστὸν καὶ Θεὸν τοῦ παντός, ἵνα |134| τὸ πᾶν εἴπω τῆς παραγγελίας ὡς ἐν βραχεῖ, καὶ ἐὰν οὕτως αὐτῇ ὑπακούοιτε ὥσπερ ἂν εἰ ἐκεῖνος πάλιν ὁ σωτὴρ καὶ δεσπότης τῶν ὅλων προστάττων ὑμῖν φαίνοιτο· « ὁ γὰρ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει » ἐν εὐαγγελίοις εἶπε τὸ ἐκείνου πανάγιον στόμα καὶ « ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ· ὁ

---

20. Iac. 1, 22. — 28. Luc. 10, 16.

5. ψυχικὴν *cod.* | 8. μὲν *cod.* | 15. διαγωνίσασθαι *cod.*

δὲ ἐμὲ ἀθετῶν ἀθετεῖ τὸν ἀποστείλαντά με » — μηδὲν τὸ παράπαν θέλημα ἴδιον ἔχουσαι μηδέ τι ποιεῖν ἀφ' ἑαυτῶν μηδέποτε ἀνεχόμεναι, ἐκεῖνα δὲ μόνα θέ|134'|λειν κἀκεῖνα πάλιν σπουδάζειν ποιεῖν, ἅπερ αὐτή γε θέλει κατ' ἐντολὴν καὶ ἅπερ αὐτὴ κατ' ἐντολὴν προστάττει
5 ποιεῖν ὑμᾶς ἡ διδάσκαλος.

126. Καὶ γοῦν τῷ τρόπῳ τούτῳ μὴ μόνον ἐὰν τὴν ἀκρίβειαν ἡ προκαθημένη διδάσκῃ, μὴ μόνον ἐὰν νηστείαν κηρύττῃ, χρὴ ὑπακούειν, ἀλλὰ κἂν νηστεύειν διακωλύῃ, κἂν τῆς ἀναπληρωτικῆς συμβουλεύῃ μεταλαμβάνειν τροφῆς, ἀπαιτούσης τῆς χρείας, κἂν
10 ἕτερόν τι τῶν ὅσα φέρει εἰς ἄνεσιν κελεύῃ |135| ποιεῖν, πάντα ὁμοίως μετὰ πάσης ἐπιτελεῖν χρὴ τῆς σπουδῆς, πεπεισμένας, ὡς πᾶν τὸ παρὰ τῆς διδασκάλου λεγόμενον ἐν Χριστῷ νόμος ἐστὶ καὶ οὕτως αὐτὸ χρὴ δέχεσθαι καὶ οὕτως αὐτό γε τοῦτο τηρεῖν, μηδ' ὅλως συζητεῖν μηδ' ἀνετάζειν περὶ τῶν ἐγκελευομένων ἀνεχομένας· τὰ γὰρ οὕτω
15 ποιεῖν καὶ οὕτω πως διατίθεσθαι μελέτη πρὸς ἀναρχίαν καὶ συνήθεια πρὸς τὸ ἀνυπότακτον γίνεται· τῷ τοι καὶ ἀνεξετάστως δέξεσθε συμβουλευόμενον ἅπαν ὑμεῖς καὶ σὺν προθυμίᾳ |135'| ἐπιτελέσετε τοῦτο πολλῇ, ἀλλὰ μὴ ἐκ λύπης μηδὲ ἐξ ἀνάγκης τινός, ἵν' ὑμῖν ἡ ὑπακοὴ ἔμμισθος γένηται· ἐὰν οὖν πρὸς μὲν τὴν διδάσκαλου οὕτω, πρὸς δὲ
20 ἀλλήλας πάλιν ἐὰν ὡς πρὸς γνήσια καὶ ἴδια μέλη καὶ ὡς πρὸς ἴδια σπλάγχνα καὶ γνήσια διακείμεναι φαίνοισθε, ἀγάπην πνευματικήν, ταπείνωσιν ἀληθῆ καὶ ὑπόπτωσιν ἄδολον ἀνυπόκριτον ἀεὶ πρὸς ἀλλήλας φυλάττουσαι, ἀλλήλων ἀνεχόμεναι ἐν ἀγάπῃ |136| καὶ τηρεῖν σπουδάζουσαι τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης, καὶ
25 ἕν τι σῶμα κατὰ τὴν ἀποστολικὴν διδαχὴν καὶ ἓν πνεῦμα γινόμεναι παρὰ τοῦτο, καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς τοῦ κυρίου καὶ Θεοῦ ἡμῶν χάριτος, πανταχοῦ τῶν πρωτείων ἀλλήλαις ὑπεξιστάμεναι καὶ ἐν τούτοις νικᾶν ἀλλήλας καὶ ἐν τούτοις ἀλλήλων προέχειν σπουδάζουσαι, ἐν οἷς ἑκάστη τῆς νίκης παραχωρεῖ τῇ πλησίον καὶ ἐν
30 οἷς ἑκάστη μείζονα |136'| οὐδὲ τῆς τυχούσης παρέχειν ἑαυτὴν περὶ πλείονος ἄγει καὶ ἐν οἷς τὴν ἐσχάτην χώραν ἑκάστη μεταδιώκει, καίτοι τὴν μείζονα ἔχειν οὖσα πρὸς λόγον ἀξία τὸν εὔλογον.

---

23. Ephes. 4, 3. — 25. Ephes. 4, 4. — 29. Cf. Marc. 9, 35.

15. ἀναχρίαν *cod.* | 16. δέξεσθαι *cod.*

127. Ἐὰν οὕτως ὑμεῖς ἐν Χριστῷ πολιτεύοισθε, ἐὰν οὕτω ταῦτα ὑμεῖς φυλάττουσαι ἀπαραποίητα καὶ ἀκατάλυτα γένοισθε, πᾶν μὲν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως καὶ τῆς ὑπακοῆς τοῦ Χριστοῦ καὶ πάντα τῆς κακίας, ὡς ἐν ὀλίγῳ φάναι, τὰ ὀχυρώματα εἰς ἔδαφος |137| καταστρέψετε καὶ εἰς τὸ μὴ ὄν, ὅπερ ἐστὶν αὐτὴ κατὰ φύσιν, χωρῆσαι· τὴν πονηρίαν πᾶσαν ποιήσετε, τῆς δὲ ἀρετῆς τὸν μέγαν καὶ περίβλεπτον οἶκον οἰκοδομήσετε θαυμασίως καὶ ἕως τέλους μετὰ πολλῆς τῆς ἀσφαλείας αὐτὸν ἀνυψώσετε, ὡς ἐπί τινων χρυσέων καὶ στερροτάτων θεμέθλων τῆς ὑπακοῆς καὶ τῆς ταπεινοφροσύνης, προσέτι δὲ καὶ τῆς μείζονος τούτων ἀγάπης, τὴν ἀρχὴν τῆς οἰκοδομίας καὶ τὴν βάσιν ταύτης πηξά|137ᵛ|μεναι.

128. Κἀμοὶ δὲ αὐτῇ τὰ μέγιστα καὶ χάριν ἅπασαν χαριεῖτε ἐντεῦθεν· δείξετε γὰρ πάνυ σαφῶς, ὅτιπερ οὐκ εἰς ἄγονον ἡμεῖς οὐδὲ ἄκαρπόν τινα γῆν τὰ τῶν παραινέσεων κατεβάλλομεν σπέρματα, ἀλλ' εἰς ἀγαθήν τε καὶ πίονα μᾶλλον καὶ εὔκαρπον καὶ δυναμένην κατὰ τὴν εὐαγγελικὴν γεωργῆσαι ἐκείνην εἰς τριάκοντα καὶ εἰς ἑξήκοντα καὶ εἰς ἑκατὸν τῇ μεγάλῃ καὶ σοφῇ γεωργίᾳ τοῦ πνεύματος. Οὐ μόνον δὲ ἀλλ' ὅτι γε καὶ εἰς ὦτα ἀκουόντων |138| τούτους τοὺς λόγους ἡμῶν ἐλαλήσαμεν.

129. Καὶ σὺ δέ, ὦ καλλίστη καὶ τὰ πάντα σεβασμιωτάτη μοι μῆτερ κατὰ Θεόν, πρὸς σὲ γὰρ ἤδη τὴν ἀφηγουμένην στρέφω τελευταῖον τοῦ λόγου τὸ πρόσωπον, ὄντως μακαρία ἔσῃ καὶ μακαρία πολλάκις καὶ μυριάκις τοῦτο, ἐὰν μὴ μόνον τὴν ἀκοὴν ὑποθήσεις τῷ τύπῳ τούτῳ, ἀλλὰ πολλῷ μᾶλλον καὶ τὴν ψυχὴν καὶ μὴ μόνον ἔξωθεν λαλούμενον καὶ ἔξωθεν ἠχοῦντα τοῦτον τὴν ἀκοὴν ἀκούσῃς, ἀλλά γε καὶ εἰς βάθος ἅπαντα τὰ αὐτοῦ ταῖς |138ᵛ| πλαξὶ τῆς σῆς ἐγχαράξῃς καρδίας καὶ μὴ μόνον οὕτως εἰς τὸ ἀνεξάλειπτον αὐτὰ ἐγχαράξῃς ἀλλὰ καὶ διδάξῃς, ἀλλὰ καὶ παραδώσεις συνεχῶς καὶ ἀδόλως ταῦτα λαλοῦσα ταῖς ὑπὸ σέ, καὶ μὴ μόνον τοῦτο, ἀλλὰ καὶ προθύμως ἄγαν ποιήσῃς αὐτά, αὐτὴ πρὸ τῶν ἄλλων εἰς τὴν ἀγαθὴν ἐργασίαν αὐτῶν ἐρχομένη καὶ δεικνῦσα διὰ τῶν καλῶν πράξεων

---

16. Matth. 13, 9.

15. τε *in ras.*

οἱονεί πως ζῶντα ταῦτα δὴ καὶ κινούμενα καὶ τῆς ὠφελείας τὸν ἀεὶ χρόνον ἀμειώτως |139| μεταδιδόντα κατὰ τὴν τοῦ πυρὸς φύσιν καὶ τοῖς ὁρῶσι ταῦτα διὰ τῶν ἔργων καὶ τοῖς ταῦτα διὰ τῶν ἀναγνωσμάτων ἀκούουσιν, ἐπειδή τοι καὶ « μακάριος οὐχ ὁ διδάξας μόνον
5 ἀλλ' ὁ ποιήσας πρῶτον, εἶτα δὲ καὶ διδάξας » τοῦ κυρίου εἰρήκει τὰ εὐαγγέλια· καὶ « εἰ ταῦτα οἴδατε (πάλιν αὐτοῦ φησιν ἡ θεία φωνή), μακάριοί ἐστε, ἐὰν ποιῆτε αὐτά. »

130. Σὺ μὲν οὖν διὰ τὸν ἐπηγγελμένον τοῦτον εὖ οἶδ' ὅτι μακαρισμὸν καὶ ποιήσεις καὶ διδάξεις τὸν τύπον καὶ τούτῳ γνησίως πρὸ
10 τῶν ἄλλων ὑποταγήσῃ |139ᵛ| καὶ δείξεις καί, ἐν οἷς ἀμετακίνητα πάντα τὰ τοῦ τύπου φυλάξεις, ὡς ἀληθῶς ἡγουμένην σεαυτὴν ὡς καὶ πρώτως φυλάττουσαν ταῦτα δεικνύεις, καθάπερ ἄρα καὶ κέκλησαι. Αἱ ὑπό σε δὲ πάλιν γνησίως ἔσονται προσέχουσαί σοι καὶ σοὶ γνησίως ὑποτατόμεναι, ἀφ' ἑστίας ὅ φασι τὸ καλὸν ὑπόδειγμα ἔχουσαι καὶ ἀπὸ τῆς
15 σῆς ταπεινώσεως καὶ ὑπακοῆς τὴν ταπείνωσιν ἄριστα καὶ τὴν ὑπακοὴν παιδευόμεναι· οὐ γὰρ τοσοῦτον ἀνύειν δύναται τὸ τὸν ἀκραιφνῆ καὶ βεβηκότα λόγον τῆς |140| ἀληθείας διδάσκειν, ὅσον τὸ πράττειν ἔργῳ τὰ διδασκόμενα· σύνεσις γὰρ ἀγαθή, φησί, πᾶσι τοῖς πράττουσιν, ἀλλ' οὔμενουν τοῖς μόνον ἀκούουσιν.

20 **131.** Οὐκ αὐταὶ δὲ μόναι ἀλλὰ καὶ θῆρες τάχα ἀνήμεροί τινες τὴν σὴν ἀρετὴν αἰδεσθέντες τὸν ὅμοιόν σοι ὑποταγήσονται τρόπον καὶ ὅλους ἑαυτοὺς ταῖς σαῖς ἁγίαις χερσὶ φέροντες ὑποθήσουσι, βλέποντες ἐν σοὶ ἀσυγχύτους τοὺς χαρακτῆρας τῆς ἐν τῷ παραδείσῳ ἀρχαίας ὑποταγῆς καὶ ὑπακοῆς τῆς |140ᵛ| ἡμετέρας προμήτορος, ἣν
25 εἶχεν ἐκείνη πρὸς τὸν Θεὸν πρό γε τῆς χαλεπῆς παραβάσεως καὶ τοῦ ὀλεθρίου διὰ τὴν παράβασιν πτώματος. Μᾶλλον δὲ καὶ αὐτοί σοι καθυποταγήσονται τῇ ἀσθενεστάτῃ φύσει καὶ ταπεινῇ οἱ κραταιοί τε καὶ μεγάλαυχοι δαίμονες καὶ φρίξουσί σε καὶ ὑπὸ τοὺς εὐαγγελικοὺς καὶ ὡραίους σου πόδας εὐαγγελιζομένης εἰρήνην καὶ πᾶν ἀγαθὸν εἰς
30 χοῦν συντριβήσονται, τῆς ἄνωθεν ῥωννυούσης καὶ συμμαχούσης σοι καὶ χάριτος καὶ δυνάμεως.

---

4. Matth. 5, 19. — 6. Joh. 13, 17. — 14. Corpus paroem. graec. I, 14, 40. — 29. Rom. 10, 15.

27. ἀσθενεστάτῃ *partim in ras.*

132. Ταῦτα μεγάλα μὲν |141| καὶ θαύματος καὶ ἐκπλήξεως γέμοντα, πλὴν δυνατὰ καὶ τῷ νῦν καιρῷ κατορθωθῆναι, μόνον ἐὰν καὶ ἡμεῖς καλῶς ποιοῦσαι θελήσαιμεν, μόνον ἐὰν τὴν ἀρετὴν τῶν πρὸ ἡμῶν ἁγίων ζηλώσαιμεν ὡς ἰσχύομεν, αἵτινες καὶ κατέπαιξαν καὶ συνέτριψαν τὰς σατανικὰς δυνάμεις καὶ παρατάξεις οὐχ ἧττον ἢ στρουθία οἰκτρότατα ὧν δὴ γυναικῶν ἁγίων τὰς μεγάλας πολιτείας καὶ τοὺς θαυμαστοὺς βίους ἐκείνων λόγοι σοφῶν καὶ ἱερὰ βιβλία ἀνάγραπτα φέρουσιν εἰς τὴν |141ᵛ| ἡμετέραν τῶν μετὰ ταῦτα ὠφέλειαν.

133. Καὶ νῦν μὲν διὰ τὴν σὴν πολλὴν ἀρετήν, ἣν κατορθώσεις ἀναμφιλόγως ἀκριβῶς τὸν τύπον τοῦτον φυλάττουσα, ὀνομαστὴ γενήσῃ τοῖς πᾶσι καὶ περιβόητος καὶ πάντες σχεδὸν ἄνθρωποι, οἵ γε τὰ σὰ καὶ θεάσονται καὶ ἀκούσονται, ᾄσουσί σοι πλεῖστα ἐγκώμια καὶ μακροὺς ἐπαίνους σοι πλέξουσι καὶ πολλάκις μακαριοῦσί σε. Ἐν δὲ τῷ μέλλοντι πάλιν αἰῶνι τοῦτο μὲν εἰς τοὺς ἀκηράτους καὶ ᾀδομένους νυμφῶνας ταῖς φρονίμοις συνελεύ|142|σῃ παρθένοις τῷ σῷ πολυεράστῳ νυμφίῳ συμβασιλεύειν καὶ συνδοξάζεσθαι, τοῦτο δὲ καὶ ἐκ δεξιῶν ἐκείνου σταθήσῃ καὶ ἀκούσῃ τῆς εὐκταίας ἐκείνου φωνῆς καὶ εὐλογημένης, καί γε σταθήσῃ τε καὶ ἀκούσῃ μετὰ τούτων σου τῶν πνευματικῶν θυγατέρων καὶ ἐρεῖς καὶ αὐτὴ μετὰ παρρησίας τότε πολλῆς τῷ δεσπότῃ σου καὶ σωτῆρι· « ἰδοὺ καὶ τὰ θυγάτρια, ἅ μοι δέδωκας, κύριε· » ὧν καὶ ἀξιωθείητε πᾶσαι καὶ μήτηρ καὶ θυγατέρες ὁμοῦ χάριτι τοῦ καλέσαντος ὑμᾶς φιλανθρώπως εἰς τὴν αὐτοῦ βασιλείαν τὴν ἐπουράνιον καὶ |142ᵛ| αἰώνιον, χάριτι καὶ φιλανθρωπίᾳ τῆς ἀνάρχου καὶ μακαρίας ζωαρχικῆς τε καὶ παντουργοῦ καὶ ἀθανάτου καὶ ὁμοουσίου τριάδος, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας, ἀμήν.

134. |158| Ἀρκούντως ἤδη περὶ τῆς μονῆς διαταξάμεναι, νῦν καὶ περὶ τῶν κεκοιμημένων γονέων ἡμῶν καὶ ἀδελφῶν κατὰ σάρκα καὶ ἔτι κοιμηθησομένων διατυποῦμεν καὶ διαταττόμεθα. Καὶ περὶ μὲν τῶν μακαρίων καὶ ἁγίων γονέων μου ἔτι δὲ καὶ περὶ τῶν μνημο-
5 σύνων ἡμῶν αὐτῶν καὶ τῆς κατὰ πάντα ὑπερλίαν φιλουμένης μοι θυγατρὸς ὁμοίως καὶ περὶ τῶν περιποθήτων μου υἱῶν, ὡς ἤδη φθάσασα διετυπωσάμην, οὕτως ἀπαραβάτως γενέσθωσαν καὶ μηδὲν ὑφιέσθω, εἰ μὴ πᾶσα ἀνάγκη. |158ᵛ| Περὶ δὲ τῶν κατὰ σάρκα μοι ἀδελφῶν καὶ συγγενῶν καὶ ἑτέρων τινῶν τῶν κάτω ῥητῶς ἀναταττο-
10 μένων κατὰ τοὺς καιροὺς καὶ τὰς ἡμέρας τὰς ἐγγραφείσας ἀπαραβάτως βουλόμεθα τὰ μνημόσυνα αὐτῶν γίνεσθαι.

135. Τῷ μηνὶ φευρουαρίῳ ια' τελείσθωσαν τὰ μνημόσυνα τῆς περιποθήτου μου νύμφης, τῆς γυναικός φημι τοῦ φιλτάτου μου υἱοῦ κυροῦ Ἰωάννου τοῦ Παλαιολόγου τοῦ μεγάλου κονοσταύλου,
15 κυρᾶς Θωμαΐδος Κομνηνῆς Δουκαίνης Λασκαρίνης τε Καντακουζηνῆς τῆς Παλαιολογίνης, τῆς διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασ|145|θείσης Ξένης μοναχῆς· καὶ γινέσθω φωταψία τῆς συνήθους δαψιλεστέρα καὶ λειτουργίαι ὑπὲρ τῆς ἐκείνης ψυχῆς τέσσαρες· τὸ γὰρ εὑρισκόμενον ἀμπέλιον εἰς τὸ Κανίκλειον ὡσεὶ μοδίων
20 αὕτη προσήνεγκε· ἀλλὰ καὶ ἐν τῇ τραπέζῃ τῶν ἀδελφῶν γινέσθω παράκλησις.

136. Τῇ κγ' τοῦ ἰουλίου μηνὸς ὀφείλουσι γίνεσθαι τὰ μνημόσυνα τῆς περιποθήτου ἐγγόνης μου, τῆς θυγατρὸς τοῦ περιποθήτου μου υἱοῦ κυροῦ Θεοδώρου Δούκα τοῦ πρωτοστράτορος, κυρᾶς Θεοδώρας
25 Κομνηνῆς Δουκαίνης Ῥαουλαίνης τῆς Παλαιολογίνης, τῆς διὰ τοῦ θείου καὶ ἀγγε|145ᵛ|λικοῦ σχήματος μετονομασθείσης Θεοδοσίας μοναχῆς· γινέσθωσαν καὶ ὑπὲρ ἑαυτῆς λειτουργίαι τέσσαρες καὶ φωταψία δαψιλεστέρα· εἰ γὰρ καὶ οὐδὲν αὕτη τῇ μονῇ προσήνεγκεν, ἀλλ' οὖν ὁ περιπόθητός μου υἱὸς πρωτοστράτωρ ὁ πατὴρ αὐτῆς καὶ πρῶτα
30 μὲν πλεῖστα προσενήνοχε καὶ καθ' ἑκάστην καὶ ἔτι προσαναθήσει εἰς τὸ ἑξῆς ζῶν καὶ εὐημερῶν χάριτι τοῦ Χριστοῦ πλείονα. Διὰ τοῦτο μηδὲ ταύτης τὰ μνημόσυνα ἀμελείσθωσαν.

---

20. *numeri locus vacat.* | 27. *ita cod.; exspectes* αὐτῆς.

137. Τῇ ἕκτῃ τοῦ ἰουνίου μηνὸς τελείσθωσαν τὰ μνημόσυνα τοῦ περιποθήτου μου αὐταδέλφου κυροῦ Μιχαὴλ Κομνηνοῦ Βρανᾶ τοῦ Παλαιολόγου, τοῦ διὰ τοῦ |144| θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθέντος Μακαρίου μοναχοῦ· |τελείσθωσαν δὲ μετὰ μανουαλίων δύο, γινέσθωσαν δὲ καὶ λειτουργίαι ἑπτὰ ὑπὲρ τῆς ἑαυτοῦ ψυχῆς καὶ ἐν τῇ τραπέζῃ τῶν ἀδελφῶν δεῖ ὀψωνίζειν καὶ παρακλητικώτερον διαιτᾶσθαι, ἐπεὶ καὶ αὐτὸς προσήνεγκε τῇ μονῇ ὑπὲρ τῶν μνημοσύνων αὐτοῦ εἰκόνα κεκοσμημένην τοῦ ἀρχιστρατήγου Μιχαήλ, σαροὺτ χρυσοῦν, κανδήλας ἀργυρᾶς δύο καὶ ὑπέρπυρα τριακόσια.

138. Ὡσαύτως καὶ ὁ ἕτερός μου αὐτάδελφος κῦρις Ἀνδρόνικος Κομνηνὸς Βρανᾶς Δούκας Ἄγγελος ὁ Παλαιολόγος, ὁ διὰ |144ᵛ| τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθεὶς Ἀρσένιος μοναχός, προσήνεγκε τῇ μονῇ ὑπὲρ ψυχικῆς αὐτοῦ σωτηρίας ἐλαιοφόριον χρυσοῦ καθαροῦ, ὃ λέγεται μάλαγμα, ἔχον καὶ κάλυμμα ἰάσπινον καὶ τὰ θ' τάγματα τῶν ἄνω δυνάμεων, καὶ ὑπέρπυρα ἑκατόν· ὀφείλουσι γοῦν καὶ τὰ τούτου μνημόσυνα γίνεσθαι κατὰ τὴν εἰκοστὴν ὀγδόην τοῦ ἰουνίου μηνός. Γινέσθω οὖν φωταψία δαψιλεστέρα τῆς συνήθους καὶ λειτουργίαι τέσσαρες.

139. Μηνὶ σεπτεμβρίῳ ις' τελείσθωσαν τὰ μνημόσυνα τῆς περιποθήτου μου αὐταδέλφης κυρᾶς Μαρίας Κο|145|μνηνῆς Βραναίνης Λασκαρίνης Δουκαίνης Τορνικίνης τῆς Παλαιογίνης, τῆς διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθείσης Μαριάμνης μοναχῆς· μετὰ μανουαλίων δύο γινέσθωσαν καὶ λειτουργίαι ὑπὲρ τῆς ψυχῆς αὐτῆς ἑπτά.

140. Τῇ δὲ ὀγδόῃ τοῦ ἰαννουαρίου μηνὸς τελείσθωσαν καὶ τὰ τοῦ ἀνδρὸς αὐτῆς μνημόσυνα κυροῦ Ἰσαακίου Κομνηνοῦ Δούκα τοῦ Τορνίκη, τοῦ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθέντος Ἰωάσαφ μοναχοῦ, καὶ ταῦτα ὁμοίως μετὰ μανουαλίων δύο καὶ γινέσθωσαν ὡσαύτως καὶ ὑπὲρ τῆς ἐκείνου ψυχῆς λειτουργίαι ζ'. |145ᵛ| Προσήνεγκαν γὰρ καὶ αὐτοὶ ἀμφότεροι τῇ μονῇ χάριν τῶν μνημοσύνων αὐτῶν ὑπέρπυρα χίλια καὶ εἰκόνισμα ἐγκεκοσμημένον λαιμίον, τὴν ὑπεραγίαν μου Θεοτόκον, λιθάρια ἔχον τρία κόκκινα καὶ μαργαρίτας· ὡσαύτως καὶ εἰς τὴν ἔξοδον τοῦ περατικοῦ ληνοῦ δεδώ-

---

5. *ita cod.*; *exspectes* αὐτοῦ. | 14. ὃς *cod.* | 23. γενέσθωσαν *cod.*

κασιν ὑπέρπυρα οβ'· διὰ τοῦτο παρεγγυῶμαι ἵν' ἀνυπερθέτως τὰ τούτων μνημόσυνα ἐκτελῶνται, γινέσθω δὲ καὶ ἐν τῇ τραπέζῃ ταῖς ἀδελφαῖς παράκλησις.

141. Μηνὶ ἰουλίῳ γ' τελείσθωσαν τὰ μνημόσυνα τοῦ περιποθήτου μου ἀνεψιοῦ, τοῦ υἱοῦ αὐτῶν κυροῦ Ἀνδρονίκου Κομνηνοῦ Δούκα Πα|146|λαιολόγου τοῦ Τορνίκη καὶ παρακοιμουμένου, τοῦ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθέντος Ἀντωνίου μοναχοῦ, καὶ ταῦτα μετὰ μανουαλίων δύο· γινέσθωσαν δὲ καὶ λειτουργίαι ὑπὲρ τῆς ἐκείνου ψυχῆς ἓξ καὶ ἐν τῇ τραπέζῃ παράκλησις δι' ὀψωνίου ταῖς ἀδελφαῖς· δέδωκε γὰρ καὶ αὐτὸς τῇ μονῇ ὑπὲρ τῶν μνημοσύνων αὐτοῦ ὑπέρπυρα πεντακόσια καὶ κανδήλαν ἀργυρᾶν λιτρῶν πέντε.

142. Μηνὶ αὐγούστῳ ὀγδόῃ ὀφείλουσι γίνεσθαι τὰ μνημόσυνα τοῦ περιποθήτου μου ἀνεψιοῦ κυροῦ Ἰωάννου Κομνηνοῦ Δούκα Ἀγγέλου Βρανᾶ τοῦ Παλαιολόγου, υἱοῦ τῆς |146ᵛ| ὑψηλοτάτης δεσποίνης τῶν Βουλγάρων, τοῦ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθέντος Ἰωάσαφ μοναχοῦ. Γινέσθωσαν δὲ μετὰ μανουαλίων δύο καὶ λειτουργίαι ἑπτὰ τελείσθωσαν ὑπὲρ τῆς αὐτοῦ σωτηρίας, καὶ κατὰ μίαν δὲ ἡμέραν τῆς καθ' ἑκάστην ἑβδομάδος τοῦ χρόνου, τὴν πέμπτην λέγω, διδόσθω προσφορὰ μία εἰς θυσίαν ὑπὲρ ἐκείνου καὶ εἰς τὴν πόρταν ἅπαξ τοῦ ἐνιαυτοῦ οἶνος μέτρα τοῖς δεομένοις τέσσαρα, ἐπεὶ καὶ αὐτὸς περὶ τὴν ἑαυτοῦ τελευτὴν φιλότιμος γέγονε καὶ τῇ μονῇ πλεῖστα προσήνεγκε. Δέδωκε γὰρ εἰκόνισμα χρυσοῦν, τὴν |147| ὑπεραγίαν Θεοτόκον, ὅλον μετὰ μαργάρων, ἔχον καὶ λιθάρια ὀκτώ, τὰ μὲν τέσσαρα κοκκίνου, ἠερανὰ δὲ τὰ ἕτερα τέσσαρα, μετὰ καλύμματος ὁλομαργάρου, ὃ καλοῦσι συρμάτινον, τὴν στήλην ἔχον τῆς ὑπεραγίας μου Θεοτόκου· ἐκόσμησε <δὲ> φιλοτίμως καὶ ἕτερον εἰκόνισμα τῆς ὑπεραγίας μου Θεοτόκου, τὴν Κοίμησιν· σὺν τούτοις ἐποίησε καὶ ποδέαν χρυσοκλαβαρικήν, ἔχουσαν τὰς τέσσαρας ἑορτὰς τῆς ὑπεραγίας Θεοτόκου καταφυτεύσας καὶ εἰς τὸ μέσον φεγγίον μαργαριτάρια· δέδωκε δὲ καὶ ἀμπέλιον ἔγγιστά που τῆς τοῦ Κοσμιδίου γῆς, ὡσεὶ μοδίων καὶ οἴκημα ἐν τῇ τοποθεσίᾳ τῶν Καλιγαρίων

---

6. *ita cod. partim in ras.; exspectes* παρακοιμωμένου. | 20. *ita cod. exspectes* οἴνου. | 26. *suppl., om. cod.* | 28. σὺν τούτοις ἐποίησε καί *in ras.* | 29. καταφυτεύσας *cod. forsitan* κεντηθείσης K. | 31. *numeri locus vacat.*

ἕνεκα τῆς φωταψίας τῆς ἐν τῷ τάφῳ αὐτοῦ κανδήλας. |147ᵛ| Γινέσθω τοίνυν καὶ ἐν τῇ τραπέζῃ ταῖς ἀδελφαῖς παράκλησις καὶ ἐσθιέτωσαν φιλοτιμότερον.

143. Μηνὶ δεκεμβρίῳ κδ' τελείσθωσαν τὰ μνημόσυνα τοῦ εὐγενεστάτου συμπενθεροῦ μου, τοῦ πενθεροῦ φημι τοῦ περιποθήτου μου υἱοῦ τοῦ πρωτοστράτορος, κυροῦ Θεοδώρου Δούκα Μουζακίου τοῦ ἐπὶ στρατοῦ, τοῦ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθέντος Θεοδωρήτου μοναχοῦ. Τελείσθωσαν δὲ καθὼς ἔχει δυνάμεως καὶ εὐπορίας τὸ μοναστήριον· δέδωκε γὰρ καὶ αὐτὸς τῇ μονῇ χάριν καταθεσίμου εἰκόνισμα κεκοσμημένον, |159| τὸν ἅγιον Ὀνούφριον καὶ ὑπέρπυρα ἑκατόν· ἐπεὶ δὲ καὶ ἡ περιπόθητός μου νύμφη ἡ θυγάτηρ ἐκείνου δέδωκεν εἰς ἀνάκτισιν τῶν κελλίων τοῦ μοναστηρίου ὑπέρπυρα διακόσια χάριν τῶν μνημοσύνων τοῦ ἰδίου πατρός, γινέσθω χρεωστικῶς καὶ τὰ τούτου μνημόσυνα ἀπαραβάτως ὡς διεταξάμεθα.

144. Καὶ εὔχομαι μὲν τῇ παναχράντῳ καὶ ὑπεράγνῳ μου θεομήτορι, ἔτι καὶ εἰς αἰῶνας ἀκαταλύτους συνίστασθαί τε καὶ προκόπτειν τὸ ἡμέτερον μοναστήριον ἔν τε πολιτείας ἱερᾶς ἀκριβείᾳ καὶ τοῖς αὐτῆς πράγμασιν, ἵνα καὶ ὁ Θεὸς καὶ δεσπότης τῶν ἁπάντων θερμοτέρως σὺν πάσῃ |159ᵛ| σπουδῇ ἀνυμνεῖται καὶ τὸ πανάχραντον ὄνομα τῆς ἁγίας αὐτοῦ μητρὸς τιμᾶται καὶ μεγαλύνεται, καὶ τὰ μνημόσυνα τῶν προειρημένων ἀποιχομένων ὡς διετυπώσαμεν γίνεσθαι μετὰ πάσης σπουδῆς καὶ ἐπιμελείας, ἵνα ἱλέως καὶ εὐμενῶς ἐπιβλέπων ὁ κύριος τὰς μὲν τῶν μνημονευόντων ψυχὰς ἐν τόπῳ φωτεινῷ ἀναπαύσῃ, συγχωρήσας αὐτοῖς εἴ τι γε ὡς ἀνθρώποις καὶ πεπλημμέληται, ὑμῖν δὲ δωρήσηται τὴν ἀξίαν ἀμοιβὴν τῆς ἀγάπης· εἰ δέ ποτε, οἷα τὰ τοῦ καιροῦ, ὅπερ ἀπεύχομαι, συμβαίη περιστῆναι τὰ τῆς μονῆς εἰς σπάνιν καὶ ἀπορίαν τῶν ἀναγκαίων, ἐνταῦθα ἱκετεύω καὶ δέομαι τῆς. . . . . .

. . . . . .

---

2. (καὶ οἴκημα — κανδήλας) *add. litteris minoribus.* | 7. ἐπιστρατοῦ *cod.* | 28. *dees unum saltem folium.*

|156| Ὁ περιορισμὸς τῆς καθ' ἡμᾶς μονῆς τῆς ὑπεραγίας μου Θεοτόκου τῆς βεβαίας ἐλπίδος τῶν χριστιανῶν ἔχει οὕτως.

5 **145.** Ἄρχεται ὁ διαιρέτης τοῖχος ἀπὸ τῆς πρὸς ἀνατολὴν μεγάλης πύλης, τῆς κειμένης κατέναντι τῶν μεγάλων οἰκημάτων τῶν περιποθήτων μου υἱῶν, καὶ διέρχεται τὸ μαγκιπεῖον μέχρι καὶ τοῦ ὅλου ὀσπητίου τοῦ παναρέτου Εὐνούχου· εἶτα κάμπτει πρὸς δύσιν καὶ βαδίζει τὸν περίορον τὸν ὄντα μέσον τῶν δύο περιβολίων τοῦ τε 10 περιποθήτου μου υἱοῦ κυροῦ Ἰωάννου τοῦ μεγάλου κονοσταύλου καὶ τῆς μονῆς· |156ᵛ| καὶ ἀπέρχεται μέχρι καὶ τῆς δημοσίας ὁδοῦ τῆς διαιρούσης δεξιὰ τὴν μονὴν τοῦ Μωσηλέ· κἀκεῖθεν κλίνει πρὸς τὸν περίβολον τῆς ὑπεραγίας μου Θεοτόκου τῆς Γοργοεπηκόου, κρατῶν τὴν αὐτὴν δημοσίαν ὁδόν, καὶ διέρχεται τὸ περιβόλιον τὸ λεγόμενον 15 τοῦ Γυμνοῦ, ἐὼν δεξιὰ τὸν περίβολον μονῆς τῆς Γοργοεπηκόου· καὶ καταντᾷ μέχρι καὶ τοῦ περιόρου τοῦ διαιροῦντος τὴν ἡμετέραν μονὴν ἀπὸ τῆς μονῆς τῆς κυρίας καὶ ἀδελφῆς μου τῆς πρωτοστρατορίσσης Γλαβαίνης· καὶ κατέρχεται μέχρι τῶν ἡμετέρων κελλίων, ἅτινα ἀνεκτίσατο ὁ περι|157|πόθητός μου υἱὸς πρωτοστράτωρ· εἶτα διαβαί- 20 νει τὸ ἡμέτερον περιβόλιον, ἐὼν δεξιὰ τὸ ἀμπέλιον τῆς κυρίας καὶ ἀδελφῆς μου τῆς πρωτοστρατορίσσης, καὶ καταντᾷ μέχρι καὶ τῆς δημοσίας ὁδοῦ ἔμπροσθεν τῆς μονῆς τῆς καλουμένης Κυριωτίσσης· εἶτα κάμπτει πρὸς ἀνατολὰς διὰ τῆς αὐτῆς δημοσίας ὁδοῦ καὶ καταντᾷ μέχρι καὶ τῆς ἑτέρας ὁδοῦ τῆς οὔσης πλησίον τοῦ ἁγίου Ὀνου- 25 φρίου, ἔνθα καὶ ἀμπέλιόν ἐστιν, ὅπερ ἐξωνησάμεθα γῆν μόνην ἀπὸ τοῦ Καλιγᾶ ἐκείνου εἰς ὑπέρπυρα τετρακόσια, |157ᵛ| εἶτα κατεφυτεύθη παρ' ἡμῶν καὶ ἐγίνετο ὅπερ νῦν ὁρᾶται ἀμπέλιον· ἐντεῦθεν κλίνει πρὸς ἄρκτον καὶ διέρχεται τὰ ἐνοικιακὰ ὀσπήτια τοῦ περιόρου, ἔνθα καταμένουσιν οἱ κοσκινάδες, μέχρι καὶ τοῦ ναοῦ τοῦ ἁγίου Ἀκακίου, 30 περιέχων καὶ αὐτὸν τὸν ναὸν ἄνευ τῶν κατηχουμένων· καὶ διέρχεται μέχρι καὶ τῆς μεγάλης πύλης τοῦ τοιούτου ναοῦ· εἶτα καθίσταται

εἰς τὴν μεγάλην πύλην τῆς ἡμετέρας μονῆς, ἐῶν μὲν δεξιὰ τὸ ὀσπήτιον τοῦ Ἀβοράτου καὶ τοῦ ῥάπτου Ἀνδρέου, ἀπὸ δὲ τοῦ Σολάτου καταντῶν μέχρι καὶ τῆς μεγάλης πύλης τῆς μονῆς, ὅθεν καὶ ἤρξατο.

|155| Ὑποτύπωσις δευτέρα, ἣν διετυπώσατο ἡ κτητόρισσα τῆς μονῆς κυρὰ Εὐφροσύνη ἡ Παλαιολογίνα μετὰ τὴν ἀποβίωσιν τῆς ἀοιδίμου μητρὸς αὐτῆς.

146. Ἡ μὲν ἐμὴ ἁγία κυρία καὶ μήτηρ τὸ ἡμέτερον φροντιστήριον συστησαμένη διά τε τὴν ἀγάπην καὶ τὸν διακαῆ ἔρωτα, ὃν πρὸς Θεὸν ἐκέκτητο, καὶ τῷ πρὸς ἐμὲ φίλτρῳ, καθὼς ἐκείνη ἐν ταῖς ἑαυτῆς διατυπώσεσι διετυπώσατό τε καὶ διωρίσατο, τριάκοντα τὸν ἀριθμὸν τὸ πλῆθος τῶν μοναστριῶν συστῆναι δι|155ᵛ|εκελεύσατο, ἅμα μὲν τὸν τῆς Τριάδος σεβομένη καὶ πρεσβεύουσα ἀριθμόν, ἅμα δὲ καὶ τὸ πολὺ πλῆθος φυλαττομένη ὡς συγχύσεως καὶ ταραχῆς πρόξενον· εἰ γὰρ μόλις ὡς ἔφασκεν ἐν ὀλίγαις φυλάττεται τὸ ἀτάραχον, πῶς ἂν φυλαχθείη, ὅπου πολλῶν μὲν γνωμῶν ἄθροισις, διαφόρων δὲ ἀγωγῶν καὶ παιδεύσεων συνέλευσις καὶ ἡλικιῶν; πλὴν κἀκείνη ζῶσα καὶ ἔτι περιοῦσα τῷ βίῳ, ἅτε φιλανθρώπου γνώμης οὖσα καὶ συμπαθοῦς, ὑπ' ἐνίων δυσωπηθεῖσα μέχρι καὶ τῶν πεντήκοντα εἴασε παραταθῆναι τὸν ἀριθμόν, καθ' ὃν δὴ τὰ ἐνταῦθα |148| καταλιποῦσα πρὸς κύριον ἐξεδήμησεν, κληρονόμον καὶ διάδοχον τῶν αὐτῆς ἐμὲ καταλείψασα· ἐγὼ δὲ ἅτε θυγάτηρ καὶ διάδοχος καὶ πάντα τὰ ἐκείνης στέργουσα καὶ τιμῶσα ἐπισφραγίζομαι καὶ αὐτὴ τὸν αὐτὸν πεντήκοντα ἀριθμόν, μὴ βουλομένη περαιτέρω προβῆναι τοῦ ἀριθμοῦ τούτου τὰς ἀδελφάς· ὡς γὰρ ἐκείνη τὴν τριττὺν τῶν δεκάδων διὰ τὴν ἁγίαν Τριάδα τετίμηκεν, οὕτω κἀγὼ τὴν τῶν ἑπτὰ ἑβδομάδων σύνθεσιν διὰ τὴν τοῦ ἁγίου πνεύματος χαρισμάτων ἀρίθμησιν διὰ τιμῆς ἄγω καὶ ἐπιβεβαιῶ· καὶ βούλομαι καὶ ἐπισκήπτω |148ᵛ| τῇ ὑμετέρᾳ ἀγάπῃ ἐνταῦθα στῆναι τὴν τῆς σεβασμίας ἡμετέρας μονῆς πληθὺν καὶ

---

11. ἑαυταῖς *cod.* | 28. καὶ βούλομαι καὶ ἐπισκήπτω *in ras.*

συνάθροισιν· ἐπὶ τούτῳ γὰρ καὶ συνήχθημεν, ἵνα ἐλέῳ Θεοῦ μετάσχοιμέν τι καὶ ἡμεῖς τῶν τοῦ πνεύματος δωρεῶν. Εἰ δὲ μὴ τοῦτο, ἀλλ' ἁπλῶς οὕτω συνήλθομεν, μάταιον ὡς ἀληθῶς καὶ ἐλεεινὸν τὸ ἡμέτερον ἄθροισμα.

5 Κεφάλαιον α'.

Περὶ τοῦ μὴ περαιτέρω τῶν πεντήκοντα ἀριθμῶν προβῆναι τὰς ἀδελφάς.

147. Τιμῶσα τοίνυν, ὡς εἴρηται, τὸν ἕβδομον ἀριθμόν, ὃς ἑπτάκις ἀνακυκλούμενος συμπληροῖ τὸν πεντήκοντα, μιᾶς ἡμέρας
10 δεούσης, ἣν κλητὴν ἁγίαν διά τε τὴν τοῦ ἁγίου πνεύματος κάθοδον καὶ ὅτι τύπος τοῦ μέλ|149|λοντός ἐστιν ὀνομάζομεν, παρεγγυῶμαι ὑμῖν, ὦ τιμιώταταί μοι ἀδελφαί, μὴ ἐπέκεινα τῶν πεντήκοντα διὰ παντὸς τοῦ αἰῶνος ἑαυτὰς ἐᾶσαι παρεκτανθῆναί ποτε, ἀλλ' ἐν τούτῳ τῷ ὅρῳ τὸ πέρας τῆς ὑμετέρας πληθύος λαβεῖν.

15 Κεφάλαιον β'.

Περὶ τοῦ μὴ ἐπιφοιτᾶν εἰς τὸ μοναστήριον κοσμικὰ παιδία χάριν παιδεύσεως.

148. Κοσμικῶν δὲ παίδων ἐπιφοίτησιν εἰς τὸ ἐκπαιδεύεσθαι καὶ
20 μανθάνειν γράμματα ἤ τι ἄλλο παντάπασιν ἀπαγορεύω· μεγάλην γὰρ ἐντεῦθεν εὑρίσκω βλάβην ἐγγίνεσθαι τοῖς ἤθεσι καὶ ἀγωγαῖς τῶν μοναστριῶν· ὃς γὰρ ἅπαξ τῷ κόσμῳ ἀποταξάμενος ἔπειτα τοῖς κοσμικοῖς αὖθις |149ᵛ| συναναφύρεται καὶ ἀνοικείους τῷ ἐπαγγέλματι φροντίδας ἀναλαμβάνει, τάραχον ἐντεῦθεν προξενῶν ἑαυτῷ καὶ τὸ
25 τῆς διανοίας ἐπισκοτίζων φῶς, καὶ ἀθετεῖ μὲν τὰ τῶν ἁγίων πατέρων παραγγέλματα, ἀκολουθεῖ δὲ οἰκείαις ὀρέξεσι καὶ θελήμασι,

---

19. εἰς τὸ *in ras.* | 22. ὅ *cod.*

ὤφειλε μηδὲ τὴν ἀρχὴν εἰς τὸ μοναστήριον εἰσελθεῖν μηδὲ τὸ σχῆμα ἐνδύσασθαι· κρεῖσσον γὰρ μὴ εὔξασθαι ἢ εὔξασθαι καὶ μὴ ἀποδοῦναι· εἰ δέ τινα τῶν θηλέων παιδίων θελήσειε συγκαταλεγῆναι μὲν ταῖς ἀδελφαῖς, προγυμνάζεσθαι δὲ καὶ ἀσκεῖν μαθήματα συντελοῦντα τῷ κανόνι τῶν μοναχῶν ἐπὶ |150| τῷ χρόνοις ὕστερον ἀποκαρείσας ταῖς μοναστρίαις συναριθμεῖσθαι, τοῦτο καὶ πάνυ βούλομαι καὶ ἐπιτάττω.

Κεφάλαιον γ'.

Περὶ τοῦ πῶς ὀφείλει γίνεσθαι τὰ μνημόσυνα πασῶν τῶν ἀδελφῶν ἰδίᾳ μιᾷ ἑκάστῃ.

149. Ἐπειδὴ ἡ ἁγία μοι κυρία καὶ μήτηρ φθάσασα διετάξατο περὶ τῶν μνημοσύνων τῶν ἁγίων μου προπατόρων καὶ δεσποτῶν, τοῦ τε ἁγίου μου πατρὸς καὶ κτήτορος καὶ ἑαυτῆς, ὡσαύτως καὶ τῶν φιλτάτων μοι αὐθεντῶν καὶ ἀδελφῶν καὶ τῶν ἄλλων τῶν ἀπὸ τοῦ γένους ἡμῶν, περὶ δὲ τῶν μνημοσύνων πασῶν ὑμῶν τῶν ἐμοὶ ἀγαπητῶν ἀδελφῶν καὶ μητέρων οὐδὲν τὸ παράπαν διετάξατο, οὐ δίκαιον ἡγησάμην αὐτὴ μὴ καὶ ὑμῶν τὰ μνημόσυνα |150ᵛ| κατὰ τὸ εἰκὸς ἐκτελεῖσθαι· ἀλλ' ἐπεὶ διὰ τὸν Θεὸν καὶ τὴν ἁγίαν αὐτοῦ καὶ πανάχραντον μητέρα κατελίπετε μὲν τὴν κοσμικὴν ὕλην καὶ σύγχυσιν, φέρουσαι δὲ ἑαυτὰς ἀφιερώσατε αὐτῷ καὶ τῇ παναχράντῳ μου θεομήτορι καὶ καρτερεῖτε μὲν ἅπαντα κόπον ἐν ταῖς διακονίαις διὰ τὴν ὑπακοὴν τοῦ Χριστοῦ, οἰκήματα δὲ καὶ διατριβὰς οἰκείας οὐκ ἔχετε ἰδιορρύθμους, ἀλλὰ κοινῷ πᾶσαι ἐνδιαιτήματι κέχρησθε τῷ μοναστηρίῳ, δέον ἔκρινα καὶ τὰ ὑμέτερα αὐτῶν μνημόσυνα τελεῖσθαι, καθὼς ἐγὼ διατάττομαι· ὁσάκις ἐξ ὑμῶν αὐτῶν μία τις |151| ἐκδημήσῃ πρὸς Κύριον, ἐπισκήπτω ἵνα μέχρι τῶν τεσσαράκοντα ἡμερῶν λειτουργῆται ὑπὲρ τῆς ψυχῆς αὐτῆς λειτουργία καθ' ἑκάστην μία καὶ

---

2. Eccles. 5, 4.

3. συγκατα *in ras.* | 22. *corr.*, *prius* οἰκίας. | 23. *corr.*, *prius* ἰδιορύθμους. 25. ταττο *in ras.*

χορηγῆται ἐν τῷ πυλῶνι τοῖς ἐνδεέσι τὸ παράθερμα αὐτῆς καθ' ἑκάστην ἀνυπερθέτως, μετὰ δὲ ταῦτα μνημονεύεσθαι ἅπαξ κατ' ἐνιαυτόν, καθ' ἣν ἡμέραν ἐτελεύτησεν ἡ ἀδελφή, μέχρις αἰῶνος παντός.

Κεφάλαιον δ'.

Περὶ τοῦ πότε ὀφείλουσι γίνεσθαι τὰ κοινῇ μνημόσυνα τῶν ἀδελφῶν.

150. Ἐπεὶ δὲ εἴωθεν ἐν τοῖς μοναστηρίοις κατ' ἔτος μετὰ τὴν τοῦ ἁγίου τῆς μονῆς ἑορτὴν τὰ κτητορικὰ τελεῖσθαι μνημόσυνα, γίνεται δὲ καὶ καθ' ἡμᾶς μετὰ τὴν ἑορτὴν τῆς κοιμήσεως τῆς πανάγνου μου |151ᵛ| Θεομήτορος τὰ τῶν κτητόρων ἡμῶν μνημόσυνα, βούλομαι ἵνα καὶ περὶ πασῶν τῶν μητέρων μου καὶ ἀδελφῶν κοινῇ τελῶνται μνημόσυνα· οὐκ ἐγχωροῦντος δὲ ἐν τῷ αὐτῷ ὁμοῦ τά τε ἡμέτερα τῶν κτητόρων καὶ ὑμῶν τῶν μοναστριῶν γίνεσθαι, τάττω, ὅτι ἐπεὶ τὸ κοιμητήριον ἡμῶν ἐπικέκληται τῷ ὀνόματι τοῦ ἁγίου καὶ θαυματουργοῦ Νικολάου, ἵνα μετὰ τὴν τοῦ ἁγίου ἑορτὴν τελῶνται ἐκεῖ μνημόσυνα πασῶν τῶν ἡμετέρων ἁγίων ἀδελφῶν· εἰ δὲ βούλεσθε, γινέσθωσαν τῇ ἐπαύριον μετὰ τὴν ἑορτὴν τῆς Θεοτόκου μου τὰ ἅγια τῶν ἁγίων· γινέσθω φωταψία τῆς |152| συνήθους δαψιλεστέρα μετὰ μανουαλίων δύο καὶ ἐν τῇ τραπέζῃ παράκλησις ταῖς ἀδελφαῖς, λειτουργίαι ὑπὲρ αὐτῶν τρεῖς καὶ ἐν τῷ πυλῶνι τοῖς δεομένοις ἄρτοι μεδίμνου ἀννονικοῦ ἑνὸς καὶ οἴνου μέτρον ἕν.

Κεφάλαιον ε'.

Πῶς δεῖ τῷ θυσιαστηρίῳ προσφορὰς προσάγεσθαι ὑπὲρ πασῶν τῶν κεκοιμημένων ἀδελφῶν.

151. Κατὰ δὲ τὸ σάββατον τῆς ἀπόκρεω καὶ τῆς πεντηκοστῆς, ἐπειδὴ εἴωθε γίνεσθαι μνημόσυνα κοινῇ ὑπὲρ πάντων ὀρθοδόξων

---

25. *in marg. littera rubra* : ἄριστον τουτὶ τὸ κεφάλαιον καὶ τελείας φιλαδελφίας ἀπόδειξις.

χριστιανῶν, παρεγγυῶμαι καὶ τοῦτο, ἵνα κἀν ταύταις ταῖς ἡμέραις προσάγωνται τῷ θυσιαστηρίῳ ὑπὲρ μιᾶς ἑκάστης προκεκοιμημένης ἀδελφῆς ἡμῶν αἱ λεγόμεναι κοινῶς προσ|152ᵛ|φοραί, μία κατὰ μίαν δηλαδή, εἰς θυσίαν ὑπὲρ τῶν ψυχῶν αὐτῶν.

Κεφάλαιον ς'.

Παραίνεσις πρὸς τὰς ἀδελφὰς ἵνα μηδὲν παραλίπωσι τῶν ὑπὲρ αὐτῶν διαταχθέντων.

152. Οὕτω βούλομαι ἀπὸ διαθέσεως ψυχῆς γίνεσθαι ὑπὲρ ὑμῶν τῶν φιλτάτων μου ἀδελφῶν καὶ οὕτω διατάττομαι καὶ διατυπῶ ἐκτόπως ἐρῶσα τῆς σωτηρίας ὑμῶν· καὶ ὥσπερ αὐτὴ ἅπαντα, ὅσα ἡ ἁγία μοι μήτηρ καὶ κυρία διετυπώσατο, ἔστερξα καὶ ἐπεβεβαιωσάμην καὶ μένειν ἀπαράτρωτα τέταχα, οὕτω χρεὼν καὶ ὑμῖν τὰ παρ' ἐμοῦ τυπωθέντα, καὶ ταῦτα εἰς ὑμετέραν ὠφέλειαν, στέργειν καὶ ἀνυπερθέτως ἀποπληροῦν, ἅμα μὲν διὰ τὸ τῆς ἀγάπης καλόν, ἅμα δὲ καὶ διαφερόντως δι' αὐτὴν τὴν ὑμετέραν |153| ὠφέλειαν· εἰ γὰρ αὐτὴ ἐγὼ φιλαδέλφου γνώμης ἔργον πληροῦσα ὑπὲρ ὑμῶν ἔσπευσα οὕτω διατυπῶσαι καὶ διατάξασθαι, πολλῷ μᾶλλον ὀφείλετε σπεύδειν ὑμεῖς πρὸς τὰ διατυπωθέντα ἕνεκα τῆς σωτηρίας ὑμῶν.

Κεφάλαιον ζ'.

Ἀξίωσις πρὸς τὰς ἀδελφὰς περὶ τῶν ἑαυτῆς μνημοσύνων.

153. Ἀλλὰ καὶ ἐμῆς τῆς ταπεινῆς τὰ μνημόσυνα, ἡνίκα δηλαδὴ ἐκ τῶν ζώντων γενέσθαι κἀμὲ ὡς οἶδεν Θεὸς οἰκονομήσειε, μὴ ἀμελῶς καὶ ῥαθύμως καὶ ἁπλῶς οὕτως ἐπιτελεῖτε· οὐ γὰρ ἐστὶ τοῦτο φιλάδελφον· ἀλλ' ὡς ἐγὼ τῷ καιρῷ τῆς ἐμῆς τελειώσεως διατάξομαι, οὕτω δὴ καὶ ποιήσετε ἀξιῶ, ἐν κατανύξει δηλονότι καὶ συντριβῇ καρδίας καὶ σπουδῇ πάσῃ, τὰς |153ᵛ| ὑπὲρ ἐμοῦ ἱκεσίας τῷ Θεῷ ἀναφέρουσαι, ὡσαύτως καὶ πάντα ὅσα ἂν διατάξωμαι.

---

18. ὑμεῖς *in ras.*

Κεφάλαιον η'.

Ἐπίτομος παρακλητικὴ νουθεσία πρὸς τὰς ἀδελφάς.

154. Καὶ χαίρετε ἐν Κυρίῳ πάντοτε, τιμιώταταί μοι μητέρες καὶ
5 ἀδελφαί, καὶ σῴζοισθε καὶ σῴζοιτε τὴν καλὴν παρακαταθήκην, ἣν πρὸς ὑμᾶς διεθέμεθα, φημὶ δὴ ἔν τε τῇ καταστάσει τῆς ἐκκλησιαστικῆς ἀκολουθίας ἔν τε τῇ τῆς τραπέζης εὐταξίᾳ καὶ τῇ τῶν κελλίων ἡσυχίᾳ καὶ προσοχῇ· πρὸ πάντων δὲ καὶ σὺν πᾶσιν εἰρηνεύετε ἐν ἑαυταῖς καὶ πᾶσι κατὰ τὸ ἀποστόλου παράγγελμα, εἰδυῖαι ἀκριβῶς,
10 ὡς οὐκ ἄν ποτε ψυχῇ ταραχώδει πνεῦμα ἅγιον ἐνοικήσειεν. . . . . |154| ὑμετέρας ἀγάπης μὴ παντάπασιν ἐξωσθῆναι τὰ κατ' ἔτος τῶν προειρημένων μνημόσυνα, ἀλλ' ὡς ἡ χεὶρ ὑμῖν εὐπορεῖ καὶ δυνάμεως ἔχετε, οὕτω καὶ τότε ποιήσετε μεμνημέναι τῆς ἀγάπης ἡμῶν καὶ τῆς διατάξεως. Εἰ γὰρ μὴ διὰ περιφρόνησιν καὶ ἀμέλειαν ἀλλὰ διὰ
15 σπάνιν καὶ ἀπορίαν τῶν τῆς μονῆς πραγμάτων ἐλαττωθείη τὰ μνημόσυνα, οὔτε Θεὸς νεμεσήσει καὶ ἡμεῖς τὴν ἀνωτάτω χάριν τῇ ἀγάπῃ ὑμῶν ὁμολογήσομεν. Καὶ ταῦτα μὲν οὕτως. Ἐπεὶ δὲ κατὰ τὴν ἐκκλησιαστικὴν συνήθειαν κατά τε τὸ σάββατον τῆς ἀπόκρεω καὶ |154[v]| τῆς πεντηκοστῆς εἴωθε μνημόσυνα γίνεσθαι κοινῇ, ἐπισκήπτω
20 καὶ τοῦτο, ἵνα κἂν ταύταις ταῖς ἡμέραις προσάγωνται τῷ θυσιαστηρίῳ ὑπὲρ ἑνὸς ἑκάστου τῶν προειρημένων αἱ συνήθως λεγόμεναι προσφοραὶ μία καθ' ἕνα δηλαδὴ εἰς θυσίαν ὑπὲρ σωτηρίας καὶ ἱλασμοῦ τῶν ἁμαρτημάτων αὐτῶν· οὐ γὰρ μόνον ἐκείνους τὰ μέγιστα ὠφελήσετε οὕτω ποιοῦσαι, ἀλλὰ καὶ εἰς ὑμᾶς αὐτὰς οὐκ ὀλίγον
25 ὄφελος διαβήσεται, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν . . . . . .

155. . . . |160| ἀπεκδεχόμεναι παρὰ Θεοῦ τὴν ἀντιμισθίαν τοῦ κόπου καὶ τῆς ταλαιπωρίας ὑμῶν καὶ τῆς ταπεινώσεως, ἣν δι' αὐτὸν

---

8. 1.Thess. 5, 13.

10. *folium excidisse videtur.* | 17. ὁμολογήσομεν *partim in ras.* | 24. οὕτω ποιοῦσαι *in marg.* | 27. *unum saltem excidit folium.*

ὑπομένετε· αὐτοῦ γάρ ἐστιν ἡ φωνὴ ὅτι· ὅπου ἐγώ εἰμι ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται. Εἰ οὖν ἐκεῖνος ὁ δεσπότης καὶ Θεὸς ἡμῶν ἐν δεξιᾷ τῆς δόξης τοῦ ἰδίου πατρός, εὔδηλον ὅτι καὶ πάντες οἱ δι' ἐκεῖνον κακοπαθήσαντες ἔνθα ἐκεῖνος ἀναπαυθήσονται, ἀπολαύοντες τῶν ἀκηράτων καὶ ἀφθάρτων αὐτοῦ ἀγαθῶν χάριτι τῆς ὁμοουσίου καὶ μακαρίας Τριάδος, ᾗ πρέπει πᾶσα δόξα τιμή τε καὶ προσκύνησις εἰς τοὺς αἰῶνας, ἀμήν.

156. Ἀλλ' ἐπειδὴ καὶ ὁ τῆς Ἐφέσου ὑπέρτιμος πρόεδρος ὑπῆρχε μὲν ἐς τὰ μάλιστα καὶ τῶν ἐμῶν γεννητόρων φίλος, ἐμοῦ δὲ καὶ κατὰ πνεῦμα πατήρ, ὡς ἐκ τῆς ἁγίας κολυμβήθρας τῆς ἐμῆς ἀσθενείας ἀνάδοχος, δέδωκε δὲ καὶ |160[v]| τῇ ἡμετέρᾳ μονῇ νομίσματα τετρακόσια, ὀφείλουσι καὶ τὰ τούτου μνημόσυνα κατὰ τὸ ὑμῖν δυνατὸν γίνεσθαι καθὼς καὶ ἡ ἐμὴ ἁγία μήτηρ ἔτι ζῶσα ἐτέλει. Ἀλλὰ καὶ τὰ τοῦ Μιτυλήνης ἐκείνου προέδρου μνημόσυνα τελείσθω κατὰ τὴν ἡμέραν, καθ' ἣν ἐτελεύτησε, κατὰ τὸ ὑμῖν ἐγχωροῦν. Προσήνεγκε γὰρ καὶ αὐτὸς τῇ μονῇ εἰκόνα κεκοσμημένην μετὰ λίθων τιμίων καὶ μαργάρων ὁλόχρυσον, τὴν ὑπεραγίαν μου Θεοτόκον τὴν ἀκαταμάχητον, ἐπιτραχήλια καὶ ἐπιμάνικα καὶ αὐτὰ μετὰ μαργάρων· καὶ διὰ τοῦτο μηδὲ τὰ αὐτοῦ μνημόσυνα κωλυέσθω γίνεσθαι. Καὶ γὰρ ἡ ἐμὴ ἁγία κυρία καὶ μήτηρ ἔτι περιοῦσα τῷ βίῳ διὰ σπουδῆς |161| ἔθετο τελεῖσθαι τὰ τούτου μνημόσυνα.

157. Ὁ θεόφιλος ἐκεῖνος κῦρ Ἰωάννης ἀποθνήσκων ἀφῆκεν ὑπὲρ μνημοσύνου ψυχικοῦ ἑαυτοῦ καὶ τῆς γυναικὸς αὐτοῦ κυρᾶς Μαρίας τῆς Ἀσανίνης ὑπέρπυρα τριακόσια, ἵνα ἀγορασθῇ κτῆμα καὶ προστεθῇ τῇ σεβασμίᾳ μονῇ τῆς ὑπεραγίας ἡμῶν δεσποίνης καὶ Θεοτόκου, τῇ ἐπικεκλημένῃ τῆς πρωτοβεστιαρίας καὶ ποιῶσι μνημόσυνα δύο κατ' αὐτὰς τὰς ἡμέρας, καθ' ἃς ἀπέθανον· ἅπερ ἡ κραταιὰ καὶ ἁγία ἡμῶν κυρία καὶ δέσποινα δεξαμένη παρακλήσει τοῦ Θεοφίλου ὡς ἐπίτροπος καὶ ἀνάδοχος τῶν ἐκείνου, πρῶτον μὲν ἔδωκεν νομίσματα ἑκατὸν εἰς τὸ μοναστήριον καὶ παρεδόθη ἀντ' αὐτῶν ὁ κῆπος ὁ ἐν τῷ Βλάγκᾳ καὶ ἐγράφη εἰς πρόσωπον καὶ ὄνομα τοῦ Θεοφίλου· νῦν δὲ

---

1. Ioh. 12, 26.

κοινῇ παρακλήσει καὶ δεήσει τῶν μοναζουσῶν πρὸς τὴν κυρίαν ἡμῶν τὴν ἁγίαν δέσποιναν (ἐζήτησαν γὰρ καὶ τὰ λοιπὰ διακόσια δι' ἣν ἔχουσιν ἀνάγκην καὶ στενοχωρίαν ὑπὸ τῆς μάχης τῶν ἀσεβῶν, ἣ καὶ τὴν Κωνσταντινούπολιν εἰς πολλὴν κατήντησεν ἀπορίαν) παρε-
5 δόθησαν καὶ τὰ λοιπὰ διακόσια εἰς τὸ μοναστήριον, ἐπὶ συμ|161v|φωνίᾳ δὲ καὶ ὑποσχέσει ἵνα κατὰ τὴν ἡμέραν καθ' ἣν ἑκάτερος αὐτῶν τὸ κοινὸν ἀπέδωκε χρέος, ἤγουν ἡ μὲν Ἀσανίνα κατὰ τὴν κδ' τοῦ νοεμβρίου, ὁ δὲ Θεόφιλος κατὰ τὴν θ' τοῦ δεκεμβρίου, ποιῶσι τὰ μνημόσυνα, ἀφ' ἑσπέρας μὲν ἔχουσαι κόλυβα χοττέας δ', μανουάλια δ',
10 ἱερεῖς τοῦ μοναστηρίου δύο, δόσιν κηρίων εἰς τὰς μοναχὰς πάσας τῆς μονῆς, κουλίκιον, εἴπερ δώσει ὁ καιρός, καὶ οἴνου· ἐπὶ τὴν αὔριον δὲ ἔχωσιν ὀψώνιον εἰς δόσιν τῶν μοναχῶν καὶ τὴν συνήθη λειτουργίαν ὑπὸ τῶν δύο ἱερέων. Ταῦτα συμφωνήσασαι ὑπεσχέθησαν ποιεῖν ἀδιακόπως, ἕως ἂν βοηθείᾳ Θεοῦ ἡ μονὴ ἵσταται, ἀπό τε
15 τοῦ τέλους τοῦ εἰρημένου κήπου καὶ ἀπὸ τοῦ προσόντος τῷ μοναστηρίῳ ἐτησίου εἰσοδήματος· καὶ οὕτω παρεδόθησαν πρὸς αὐτὰς καὶ τὰ τριακόσια ὑπέρπυρα, τὰ μὲν πρότερον χάριν τοῦ κήπου ὡς δεδήλωται, τὰ δὲ νῦν διὰ τῶν ἡμετέρων χειρῶν, θείῳ ὁρισμῷ τῆς κραταιᾶς καὶ ἁγίας ἡμῶν |162| κυρίας καὶ δεσποίνης· καὶ δι' ἀσφάλειαν
20 τὴν εἰς τὸ ἑξῆς καὶ δήλωσιν τῶν γεγονότων τούτων ἐγράφησαν ἐνταῦθα διὰ χειρὸς ἐμοῦ τοῦ μεγάλου σκευοφύλακος τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας, διακόνου Δημητρίου τοῦ Βαλσαμῶν, μηνὶ φευρουαρίῳ ια' ἰνδικτιῶνος ε' τοῦ ἑξακισχιλιοστοῦ ἐννακοσιοστοῦ πέμπτου ἔτους.

25 158. Καλῶς καὶ ὁσίως τῷ προφητάνακτι θείῳ Δαυὶδ εἴρηται τό· Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου· καὶ γὰρ οἱ κατ' ἐκεῖνον φιλόθεον ἔχοντες τὴν ψυχὴν διηνεκῆ τὴν ἐπιμέλειαν ἐνδείκνυνται εἴς τε τὴν τῶν θείων ἁπάντων ἐπιμέλειαν καὶ τὸν στηριγμὸν τῶν εὐαγῶν σεμνείων· καὶ ζῆλος ἀγαθὸς τοῖς
30 εὐγενῆ τὸ φρόνημα κεκτημένοις εἰσέρχεται τῷ προφητικωτάτῳ λογίῳ καὶ διὰ τῆς πρὸς τὰ θεῖα χρηστῆς ἐπιμελείας τὴν μακαρίαν ἐκείνην

---

26. Psalm. 25, 8.

30. *ita cod.*; *exspectes* εὐγενές.

καὶ ἄληκτον ἀποκερδαίνουσι θείαν ζωήν, ἣν διηνεκῶς ἐφιεμένη καὶ ἡ τιμιωτάτη ἐν μοναχαῖς καὶ ἁγία ἡμῶν κυρία κυρὰ Ξένη ἡ Φιλανθρωπηνὴ ἀνεκαίνισε διὰ οἰκείων ἐξόδων αὐτῆς τὴν καθ' ἡμᾶς σεβασμίαν μονήν, πτῶσιν ἐν πολλοῖς τοῖς μέρεσιν ἀπειλοῦσαν· πεποίηκε δὲ τὴν ἐπανόρθωσιν αὐτῆς κατὰ τὸ ἑξακισχιλιοστὸν ἐννακοσιοστὸν 5 ἔτος τῆς ιε' ἰνδικτιῶνος. Ἐκείνης δὲ τῶν τῇδε μεταστάσης, καὶ ἡ τιμιωτάτη ἐν μοναχαῖς καὶ ἁγία ἡμῶν κυρία κυρὰ Εὐγενία ἡ Καντακουζηνὴ ἡ θυγάτηρ ἐκείνης τὴν καθ' ὅλον αὐλὴν τῆς αὐταδέλφης αὐτῆς κυρᾶς Ἄννης τῆς Καντακουζηνῆς ἐκείνης |162ᵛ| ἀνεκάθαρε δι' οἰκείων ἐξόδων καὶ ἀναλωμάτων καὶ εἰς χωράφιον σιτοφόρον ἀποκα- 10 τέστησεν, οὗ τὸ τίμημα περιέστη παρὰ τοῦ ζητοῦντος ἀγοράσαι αὐτὸ ὑπέρπυρα τριακόσια· τὸ δὲ ἀποδέδωκε πρὸς τὴν ἡμετέραν μονήν, ὡς ἂν τούτου χάριν ἔχῃ ἡ ἁγία μήτηρ αὐτῆς τὸ σύνηθες ἐτήσιον μνημόσυνον, ὃ καὶ ἔχουσι πάντες οἱ κτήτορες, καθ' ὃν ἀπεβίω καιρόν, ἤτοι κατὰ τὴν ιγ' τοῦ φεβρουαρίου τῆς β' ἰνδικτιῶνος· πεποίηκε δὲ τὴν 15 τοῦ χρυσοῦ προσένεξιν κατὰ τὸ ἑξακισχιλιοστὸν ἐννακοσιοστὸν ἕκτον ἔτος τῆς ς' ἰνδικτιῶνος· ἀλλὰ καὶ κατὰ τὸν σεπτέμβριον μῆνα τῆς θ' ἰνδικτιῶνος διεπράσατο τὸ τοῦ Μαραχᾶ οἴκημα εἰς ὑπέρπυρα ο', ὅπερ ἐζήτησε καὶ εὐηργετήθη παρὰ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως κυροῦ Μανουὴλ τοῦ Παλαιολόγου καὶ ἐποιή- 20 σατο διὰ τῶν τοιούτων ὑπερπύρων καὶ ἑτέρων ἑκατὸν τριάκοντα, ἃ καί εἰσιν ὁμοῦ ὑπέρπυρα διακόσια, τὴν τοῦ θείου ναοῦ καὶ τοῦ καμπαναρίου ἐπανόρθωσιν καὶ σύστασιν, κινδυνευόντων καταπεσεῖν· ἐξωδιάσθησαν δὲ τὰ τοιαῦτα ὑπέρπυρα εἰς κεράμια, καρφία, ἀσβέστην, μαστορίκιν καὶ εἰς ἑτέραν ἔξοδον ἁρμοδίαν· ὅθεν καὶ ὀφείλομεν 25 εὔχεσθαι ἡμεῖς αἱ νῦν εὑρισκόμεναι εἰς τὴν τοιαύτην μονὴν καὶ αἱ διαδεξάμεναι ἡμᾶς, ἵνα διαμένῃ τὸ μνημόσυνον αὐτῶν εἰς αἰῶνα τὸν ἅπαντα καὶ τῆς ἐκ δεξιῶν τοῦ σωτῆρος Χριστοῦ τυχεῖν αὐτὰς μερίδος μετὰ πάντων τῶν ἁγίων καὶ δικαίων τῶν ἀπ' αἰῶνος τῷ Θεῷ εὐαρεστησάντων, ἀμήν. 30

159. Ἐπεὶ δὲ τὸν αὐτὸν ζῆλον καὶ τὴν περὶ τὴν ἡμετέραν ταύτην ἱερὰν καὶ σεβασμίαν μονὴν ἡμῶν σπουδήν τε καὶ ἐπιμέλειαν μέχρι τελευταίας ἀναπνοῆς |163| φιλοτίμως ἐνδειξαμένη ἡ ῥηθεῖσα

---

8. καθόλον *cod.*

τιμιωτάτη ἐν μοναχαῖς καὶ ἀοίδιμος κτητόρισσα ἡμῶν, ἅτε καὶ γνησία ἐγγόνη καὶ κληρονόμος τῶν ἀοιδίμων προγόνων αὐτῆς καὶ κτητόρων ἡμῶν, κυρὰ Εὐγενία Καντακουζινὴ ἡ Φιλανθρωπινή, ὡς καὶ ἐκ νεαρᾶς ἔτι τῆς ἡλικίας ἀποκαρεῖσα καὶ πάντα ὅσα αὐτῇ
5 περιῆλθεν ἐν ταύτῃ τῇ ἱερᾷ μονῇ καταναλώσασα, ἐθέλησε καὶ ἐν τῇ πρὸς Θεὸν αὐτῆς ἐκδημίᾳ καὶ ἐπαφῆκεν ὑπέρπυρα ἑκατόν, ἵνα καταφυτευθῇ τὸ περιβόλιον τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου εἰς ἀμπέλιον καὶ ἀνακτισθῇ καὶ ἑνωθῇ τῷ μεγάλῳ ἀμπελίῳ τῆς μονῆς ἡμῶν ὑπὲρ ψυχικῆς αὐτῆς σωτηρίας, ὀφείλει καὶ ἡ τοιαύτη μονὴ
10 ἡμῶν εἰς αἰῶνα τὸν ἅπαντα καὶ αἱ ἐνασκούμεναι ταύτῃ ἀπάρτι καὶ εἰς |165[v]| τὸ ἑξῆς μοναχαὶ κατ' ἔτος τελεῖν μνημόσυνον ὑπὲρ τῆς ψυχῆς αὐτῆς κατ' αὐτὴν δὴ τὴν ἡμέραν τῆς πρὸς Θεὸν αὐτῆς μεταστάσεως, ἥτις ἐστὶν ἡ ια' τοῦ φευρουαρίου μηνὸς τοῦ ἑξακισχιλιοστοῦ ἐννακοσιοστοῦ δεκάτου ἔτους· ἐν ταύτῃ γὰρ ἀπέτισε τὸ
15 χρεών, ἐν ᾗ καὶ ὀφείλομεν μνημόσυνον ἐκτελεῖν συνήθως ὡς καὶ ὑπὲρ τῶν ἄλλων ἀοιδίμων κτητόρων ἡμῶν τῶν προγόνων αὐτῆς, ἐπεὶ καὶ αὕτη τὴν ἴσην σπουδὴν καὶ προθυμίαν καὶ πρόνοιαν περὶ τὴν ἡμετέραν μονὴν τὴν γονικὴν αὐτῆς ἐπεδείξατο, τοῦ οὐρανίου νυμφῶνος ἐπιποθοῦσα τυχεῖν καὶ τῆς τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν
20 βασιλείας ἐφιεμένη· ὧν καὶ ἐπιτύχοι πρεσβείαις τῆς παναγίας ἀχράντου ὑπερευλογημένης δεσποίνης ἡμῶν Θεοτόκου τῆς βεβαίας ἐλπίδος, καὶ πάντων τῶν ἁγίων, ἀμήν.

Ἐγράφη μηνὶ μαρτίῳ ἰνδικτιῶνος ι', ἔτους
ἑξακισχιλιοστοῦ ἐννακοσιοστοῦ δεκάτου.

---

11. κατέτος *cod.*

B. — Le typicon du monastère de Lips.

< ΤΥΠΙΚΟΝ >

α'.

< Περὶ τοῦ αὐτοδέσποτον εἶναι τὴν μονήν. >

. . . . . .

1. |115| ...κατὰ τὸ ἀνθρώπινον μητέρα τὴν κοινὴν ἡμῶν καὶ προ-
στάτιν καὶ δέσποιναν κἀμοῦ διαφερόντως, ὡς ἐκ πολλῶν σαφῶς ἔγνωκα, 5
προστάτιν καὶ κυρίαν ἀφίημι, παντὸς δὲ ἄλλου κυρείαν ἀπείργω τῶν
ἐν τούτῳ πάντων παντάπασιν· εἰ γὰρ αἱ τῇδε συνελθοῦσαι κόσμον
|115ᵛ| ὅλον ἀποστραφεῖσαι καὶ τὰ ἐν κόσμῳ πάντα περιιδοῦσαι μόνῳ
δουλωθῆναι Θεῷ καθυπέσχοντο καὶ τὸν σταυρὸν ἀράμεναι τούτῳ διὰ
βίου κατακολουθεῖν εἵλοντο καίγε δὴ τὸ ἡμέτερον ἐπὶ τοιῷδε προβε- 10
βήκει σκοπῷ, τίς τίνι πρὸς δεσποτείαν λόγος ἐναπολέλει|116|πται
δίκαιος ἢ τίς ποτε ἐς τοσοῦτον αὐθαδείας τε καὶ τόλμης ἐλάσειεν ὡς
τὸ τοῦ Θεοῦ νοσφίζεσθαι δίκαιον καὶ τούτῳ τρόπον τινὰ ἀντιφέρεσθαι;
ὀκνῶ γὰρ φάναι τοῦτον ὅστις ἂν καὶ εἴη θεομαχεῖν. Οὔτ' οὖν τις
τῶν ἐν τέλει οὔτε τῶν ἄλλως τὰ τοῦ |116ᵛ| δημοσίου πιστευομένων 15
χώραν ποτὲ σχοίη μεταστῆσαί τι τῶν τῆς μονῆς ἢ τὸ παράπαν μετα-
θεῖναι ἢ ἀφελέσθαι πως ἢ ἐκδοῦναι πρὸς ἑτέραν, οὐδ' αὐτὸς ὁ τὸ τῆς
βασιλείας σκῆπτρον ἐγκεχειρισμένος καὶ τὴν τοῦ θείου λάχους πεπιστ-
τευμένος διοίκησιν |117| τῶν τινι ὑποτάξει ἢ συγκαταλλάξει μονῶν,
ταύτης ἢ ἐκείνης προμηθευόμενος· αὐτὴν γὰρ μόνην μένειν καθ' 20

---

3. *suppl. om. cod.* Cf. p. 27. | 16. χώράν ποτε *cod.* | 17. ἀφελέσθαί πως *cod.* ; ἑτέραν *scripsi*, ἕτερα *cod.* | 19. συγκαταλάξει *cod.*

ἑαυτὴν μηδεμιᾷ μηδ' ὁπωσοῦν συναπτομένην καὶ βουλόμεθα καὶ διαταττόμεθα, μόνῳ τῷ ὑφ' ἡμῶν ἐχόμενα ταύτης ἀνεγηγερμένῳ ξενῶνι |117ᵛ| συναπτομένην εἰς ἀδιαίρετον καὶ τῶν ἐν αὐτῷ πάντων ὅσα γε καὶ ἰδίων προσήκουσαν ποιουμένην προμήθειαν εὐγνώμονας δὲ
5 ὄντας τοὺς κατὰ καιρὸν διαδεχομένους τὰ τῆς ἀρχῆς δεῖν πάντως κριθήσεται τὰ τῶν προμεταστάντων |119| στέργειν βουλεύματα καὶ κρατύνειν ἐπὶ μᾶλλον αὐτῶν τὰ θεσπίσματα, εἰδότας, ὡς πᾶσα ἀνάγκη μεταστῆναί ποτε καὶ αὐτούς — ἄνθρωποι γὰρ καὶ τῆς κοινῆς ἁπάντων καὶ ῥευστῆς φύσεως — καὶ ὡς, εἰ τὰ ὑπὸ τῶν πρὸ αὐτῶν
10 οὗτοι θεσπισθέντα τηρήσουσιν, |119ᵛ| ὑπόδειγμα τοῖς μετ' αὐτοὺς παραπλησίως τὰ ἑαυτῶν φυλάξαι παρέξουσι· τῷ δέ γε θείῳ καὶ οἰκουμενικῷ πατριάρχῃ τοῦτο μόνον ἐνδίδομεν ἐπὶ τῇ μονῇ, τὴν παρὰ ταῖς ἱεραῖς ἁγιστείαις ἀναφορὰν τοῦ ὀνόματος καὶ τὸ σύνηθες εἰ παραβάλοι μνημό|120|συνον, πρὸς δὲ καὶ τὴν τῶν ψυχικῶν
15 σφαλμάτων ἐξέτασιν καὶ θεραπείαν προσήκουσαν, καὶ τοῦτο, εἴ ποτέ τι συμβαίη — ὅπερ ἀπεύχομαι — μείζονος ἢ κατὰ τὴν τῆς λαχούσης τὰ τῆς ἡγουμενείας καὶ τοῦ πνευματικοῦ τούτων πατρὸς διαγνώσεως δεόμενον |120ᵛ| καὶ δυνάμεως.

2. Περὶ γὰρ τῶν ἄλλων πάντων ἡ βασιλεία μου διατάξεται καὶ
20 τύπον τῆς ὀφειλομένης διαγωγῆς εἰσηγήσεται καθ' ὅν τε ἂν πολιτεύοιντο καὶ καθ' ὃν τὸ καθ' αὐτὰς ἅπαν καὶ διοικοῖντο καὶ διορθοῖντο πρὸς τὸ λυσιτελὲς αὐταῖς καὶ σωτήριον. Ἀλλ' ἡμεῖς μὲν |121| τοῖς τε ἐφ' ἡμῶν αὐτῶν τοῖς τε μεθ' ἡμᾶς τὸ πρὸς βούλησιν δεδηλώκαμεν. Εἰ δέ τις τῶν ἁπάντων πρᾶξαί τι παρὰ τὸ διατεταγμένον
25 ἡμῖν ἐθελήσειεν, οὐδὲν ἂν αὐτὴ κατ' αὐτοῦ φαίην τὸ τῆς ἐντολῆς πληροῦσα καὶ παραιτουμένη τὸ ἐπαρᾶσθαι, ἐπεύχομαι δὲ μᾶλλον |121ᵛ| μήτε τι παραποιηθῆναι μήτε τινὰ λόγον ὑπὲρ τοῦδε ἀπαιτηθῆναι ἐν ἡμέρᾳ ἀνταποδόσεως· ὃς δ' ἄν γε καὶ εἴη, δεδοικέτω, μὴ ἀρᾶς ἔνθεν αὐτὸς ἑαυτὸν ὑπόδικον καταστήσειε καὶ αὐτῶν ὡς εἰπεῖν
30 τῶν ἐσχάτων ὑπόδικον ἢ ὅ δή φασι καὶ τοῖς ὑπὲρ κατάραν δεινοῖς συναντή < σειε > . . . . . .

---

1. μηδοπωσοῦν *cod.* | 27. μήτέ τινα *cod.* | 31. *unum saltem deest folium.*

β'.

<Περὶ τῆς ἐφορείας καὶ ἐπικουρείας τῆς μονῆς καὶ τίς ἂν γένοιτο ταύτης ἔφορος.>

. . . . . .

|75| 3. ...καὶ ἔριδας ὡς τὸν ἤρεμον αὐτῶν διενοχλούσας βίον καὶ ἥσυχον, καὶ μᾶλλον εἰ τύχοι γε ὂν γυναικῶν τῆς ἁπαλῆς καὶ ἀσθενοῦς φύσεως καὶ ἰσχυρᾶς ἐπικουρίας δεόμενον, ἅτε καὶ εἰθισμένων οἰκουρία καὶ τῇ ταῖς γυναιξὶ πρεπωδεστάτῃ σιγῇ· |75ᵛ| ἐπεὶ γοῦν οὕτω τὸ τῆς προστασίας ἀναγκαῖόν ἐστιν, ὑπὸ προστάτην εἶναι καὶ ἔφορον τὸ ἱερὸν τοῦθ' ἡμῶν αἱρούμεθα καταγώγιον· καὶ ὅσῳ δὴ τὰς μοναχὰς ἀσθενεῖς σύνισμεν, τοσούτῳ τὸν προστάτην ἰσχυρόν ἐκλεγόμεθα· οὗτος δὲ τίς ἄλλος ἂν εἴη τῶν ἐπὶ γῆς |76| ἢ ὁ πρὸς τοῦ μόνου δυνάστου Θεοῦ τὴν ἀρχὴν καὶ τὸ κράτος λαχών; παντί που δῆλον ὡς ὁ βασιλεὺς οὗτός ἐστιν, ὃν ἐπὶ πάντων ὁ πρὸ πάντων καὶ ὑπὲρ πάντα τάττει Θεός· καὶ νῦν μὲν εὖ ἡμῖν ποιοῦντος Θεοῦ ὁ ἐξ ἐμοῦ προελθών, τὸ ἐμὸν καὶ στήριγμα καὶ καλλώπισμα, ὃς τὸ μὲν πρὶν |76ᵛ| σὺν τῷ βασιλεῖ καὶ πατρὶ διιθύνων τὰ τῆς ἀρχῆς ἦν, νῦν δ' ὡς δι' εὐχῆς εἴχομεν καὶ μόνος τὸ κράτος ἀναλαβὼν μόνος τὰ τῶν Ῥωμαίων εὖ τε καὶ ὡς οὐκ ἄν ποτε κρεῖττον ᾠήθημεν διοικεῖ· σὺν αὐτῷ δὲ καὶ μετ' αὐτὸν τὸ ἡμέτερον ἀγαλλίαμα, ἡ ἡμετέρα |77| παραψυχή, ὁ φύς τε ἐξ αὐτοῦ καὶ τοῦ κράτους αὐτοῦ καὶ τοῦ στέφους διάδοχος· καὶ καθεξῆς εἰσαεὶ οἱ τῆς ἀρχῆς καὶ τοῦ κλήρου διάδοχοι· βασιλεῖ γὰρ ἀεὶ τὰ τῆς ἐφορείας ἀνατιθέαμεν· ὅθεν καὶ ὀφείλουσιν οἱ κατὰ καιροὺς τῆς ἀρχῆς ἀξιούμενοι ἀμφοῖν ὅ φασι χεροῖν ἐπιλαμβάνεσθαι τῆς |77ᵛ| μονῆς καὶ ὑπερασπίζειν ἀξίως καὶ περιέπειν ὡς τὸ εἰκός, ὡς καὶ τὴν τοῦ παντὸς κυρίαν καὶ θεομήτορα, πρὸς δὲ καὶ τὸν τοῦ κυρίου βαπτιστήν τε καὶ πρόδρομον τῇδε μὲν ἕλκοιεν φρουρεῖν τε καὶ συνέχειν αὐτοὺς καὶ παντὸς συντηρεῖν ἀνωτέρους ἀνιαροῦ συναντήματος, ἐν δὲ τῇ |78| διαδεξομένῃ λήξει προστῆναι θερμῶς εἰς Θεὸν καὶ τῆς αὐτοῦ δυσωπῆσαι μὴ ἀπαξιῶσαι βασιλείας τῆς ἡτοιμασμένης ἐκείνης πρὸ τῆς τοῦ κόσμου καταβολῆς ἀπολαύσεως.

---

3. *suppl. om. cod.* Cf. p. 29. | 26. ἕλκοιεν *cod.; an legendum* ἱλήκοιεν?

γ'.

Περὶ τοῦ πόσας δεῖ εἶναι τὰς μοναχάς.

4. Ἐπεὶ δὲ τὰ κατὰ γνώμην |78ᵛ| περὶ ὧν προερεῖν ἐχρῆν δεδηλώκαμεν, καὶ ταῖς περὶ ὧν ὁ παρὼν ἡμῖν λόγος καὶ τὸ πᾶν ἔμοιγε
5 τοῦ σκοποῦ ταῖς ἐνθάδε συνιούσαις ἀπάρτι γνωριῶ τὰ πρὸς βούλησιν. Εἰς πεντήκοντα βουλόμεθα καὶ οὐ πλείους ἁπάσας ἠριθμῆσθαι τὰς μοναχάς, ὧν τὰς |79| μὲν τριάκοντα τῷ θείῳ θέλομεν ἐνασχολεῖσθαι σηκῷ, τοὺς διατεταγμένους τῷ μοναδικῷ βίῳ ὕμνους θείους καὶ ἱερὰς δοξολογίας ἀδιαλείπτως ὁμοῦ πάσας ἀποδιδούσας Θεῷ, τὰς
10 περὶ μέσας νύκτας, τὰς κατ' ὄρθρον καὶ μεθ' ἕω, τὰς ἐν τρίτῃ ἕκτῃ τε καὶ ἐννάτῃ, |79ᵛ| τὰς ἑσπερινάς, τὰς ἐπιδειπνίους· τὰς δὲ λοιπὰς εἴκοσιν εἰς διαφόρους διακονίας διαμερίζεσθαι, μιᾶς δὲ πάσας ἐξηρτῆσθαι γνώμης τε καὶ βουλῆς τῆς τὴν πνευματικὴν ἡγουμενείαν σφῶν ἀναδεχομένης καὶ τὰ τῆς προστασίας ἐμπιστευομένης ἑκάστοτε,
15 ἣν καὶ οὕτως ἀποκαθίστασθαι . . . . . .
. . . . . .

δ'.

|80| Περὶ ἐκλογῆς καὶ προχειρίσεως ἡγουμένης καὶ περὶ τοῦ τέσσαρας
20 ἱερεῖς ἐναποτετάχθαι τῇ μονῇ.

5. Τριάκοντα τῶν ἐκκλησιαστικῶν οὐσῶν μοναχῶν, μίαν ἐξ αὐτῶν τὴν ὑπερφέρουσαν λόγῳ καὶ ἀρετῇ εἰ δὲ μὴ ἀμφοῖν . . . . . .
. . . . . .
|80ᵛ| πατρὸς ἐπιλέγεσθαι καὶ ἀφιλονείκως πάνυ προκρίνεσθαι, ἡμέραι
25 ἑβδομάδος ὅλης εἰς ἐκλογὴν ταύτης ἀρκέσουσιν· οὐ γὰρ οἶμαι πλειόνων ταύταις δεήσειν προστάτιν τε ζητούσαις πρὸς ὠφέλειαν |81| τῶν σφετέρων ψυχῶν καὶ πρὸ βλάστης ἐκκόπτειν βουλομέναις τὰ φιλοῦντά πως ἐντεῦθεν ἀναφύεσθαι σκάνδαλα.

---

3. ἐπείδε *cod.* | 15, 22. *excisa membrana tres desunt versus.*

6. Μετὰ δ' αὖ γε τὴν ἐκλογὴν παννύχιον ἐκτελεῖσθαι ταύταις παράκλησιν καὶ μεθ' ἡμέραν τοὺς πρεσβυτέρους — τέτταρας δ' ἀεὶ τὴν μονὴν ἔχειν παρακελεύομαι, |81ᵛ| ὧν τοὺς μὲν δύο τῷ παλαιῷ ἐναποτετάχθαι ναῷ, τῷ νέῳ δὲ τοὺς λοιπούς, λαμβάνειν δὲ μισθὸν ἐτήσιον χρυσοῦς ἕκαστον δώδεκα καὶ σίτου μεδίμνους πεντήκοντα καὶ οἴνου μέτρα πρὸς τοῖς ἓξ καὶ τριάκοντα. Τούτους δὴ πάντας ἰδίᾳ τότε καὶ ἀνὰ μέρος τὴν ἀναίμακτον |82| θυσίαν ἱερουργεῖν ἐν μὲν τῷ τῆς κυρίας μου τῆς Θεοτόκου σηκῷ εἰς τὸ πανάγιον αὐτῆς ὄνομα, ἐν δὲ τῷ τοῦ τιμίου μου Προδρόμου καὶ βαπτιστοῦ εἰς ὄνομα τὸ αὐτοῦ, ἐπὶ δὲ τῷ ἐχόμενα τοῦ παλαιοῦ εἰς τὸ τῆς ἁγίας Εἰρήνης, ἧς τὸ σεβάσμιον λείψανον ἐν τῇ μονῇ καθευρίσκεται, ἐν δ' ἑνί |82ᵛ| τινι εἰς τὰ κατηχουμενεῖα τοῦ τῆς ἡμέρας ἁγίου· τέσσαρες δ' ὄντες οἱ ἱερεῖς τὰς εἰρημένας ἁγιστείας ἀνελλιπῶς ἐκτελέσουσιν· εἰ δ' ἀσθενῶν τις ἀπολειφθείη ἢ καί τι ἄλλως ἔχων τὸ προσιστάμενον, μετακληθήσεται ἕτερος καὶ ἀναπληρώσει τὸ ἔλλειμμα.

7. Καὶ τῇ ὑστεραίᾳ δύο πρὸς |83| ταῖς δέκα αἱ τιμιώτεραι καὶ τῶν πρεσβυτέρων ὁ πολιᾷ τε καὶ συνέσει διαφορώτερος τῷ βασιλεῖ τὴν ἐπιλεγεῖσαν προσάξουσιν, ἐφ' ᾧ γε τὴν τῆς ἡγουμενείας ἐγχειρισθῆναι βακτηρίαν· ἣν καὶ λαβούσης, παρὰ τὴν μονὴν εὐθὺς ὑποστρέψουσι· καὶ τὸν ναὸν ἐπευλογήσας ὁ ἱερεὺς |83ᵛ| ὑπερεύξεται συνήθως τῶν βασιλέων, ὑπερεύξεται καὶ αὐτῆς τῆς τὴν ἡγουμενείαν πιστευομένης λαβών τε τὴν τοῦ παρόντος τυπικοῦ πυξίδα πρὸ τῆς εἰκόνος τεθεῖσαν τῆς δεσποίνης καὶ προστάτιδος Θεοτόκου γονυκλιτησάσῃ τρὶς ἐγχειρίσει καὶ τῷ τοῦ τιμίου ἐπισφραγίσας |84| τύπῳ σταυροῦ τὴν πρὸς Θεοῦ ἀντίληψιν ἐπὶ τῇ φυλακῇ ταύτης ἐπεύξεται. Κἄτα ὁ μὲν τὴν ἀπὸ τῆς τραπέζης εὐλογίαν ἀπολαβὼν τὴν ἐς οἶκον πορεύσεται, αἱ δὲ σὺν τῇ προεστώσῃ παρὰ τὸ ἀριστητήριον. Δέκα χρυσίνους ὀψωνεῖσθαι τὴν ἡμέραν ταύτην διακελεύομαι, προσόν|84ᵛ|των καὶ τῶν ἐκ τῆς μονῆς ὀσπρίων δῆτα καὶ ἐλαίου καὶ προσαρτυμάτων ἀλλοίων.

---

7. ἀναμέρος *cod.*

8. Τότε δὴ καὶ ἡ τῆς ἡμετέρας ταύτης διατυπώσεως ἀνάγνωσις προτεθήσεται καὶ τὴν μὲν πρώτην ἀναγνωσθήσεται, ὅσονπερ ἂν ἡ τῆς ἑστιάσεως ὥρα παραμετρήσειε |85| ταῖς δὲ καθεξῆς διὰ τέλους ἀνελιχθήσεται. Τρὶς δὲ ἄλλως τοῦ ἔτους τὴν ἀνάπτυξιν αὐτῆς καὶ
5 βουλόμεθα καὶ διαταττόμεθα γίνεσθαι, τὴν ἀρχὴν λαμβάνουσαν ἑκάστην ἐφ' ἑορτῆς· καὶ τὴν μὲν πρώτην ἀπ' αὐτῆς τῆς τοῦ γενεσίου τοῦ τιμίου Προδρόμου καὶ βαπτιστοῦ, |85ᵛ| τὴν ἑτέραν ἀπὸ τοῦ τῆς ἀειπαρθένου Θεοτόκου σωτηριώδους γενεθλίου, τὴν τρίτην δὲ καὶ λοιπὴν μετὰ τὴν τῆς ἀναστάσεως ἑορτὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ
10 Χριστοῦ· καὶ <μετὰ> τὴν τῶν ἐγκαινίων ἀπόδοσιν καθ' ἑκάστην δέ γε συμπλήρωσιν τὸ « αἰωνία ἡ μνήμη τῶν κτητόρων » πάσας |86| ἀξιοῦμεν ἀναφωνεῖν.

ε'.

Περὶ τοῦ δεῖν ἀπονέμειν τῇ προεστώσῃ τιμὴν
15 καὶ πῶς δεῖ τὴν οὐ καλῶς ἡγουμενεύουσαν μεθιστᾶν τῆς ἡγουμενείας.

9. Ἀλλ' ἡ μὲν ἐντεῦθεν κατὰ Θεὸν ὑμῶν προστήσεται καὶ τῶν ὑμετέρων ψυχῶν προ|86ᵛ|νοήσεται καὶ τῆς σωτηρίας ὑ<μῶν> . .
. . . . . .
20 τοῦτο γὰρ ταύτῃ τὸ ὀφειλόμενον, ἐπὶ τούτῳ τε ἐγκριθείσῃ καὶ τοῦτ' ἐπαγγειλαμένῃ Θεοῦ τε καὶ ἀνθρώπων ἐπίπροσθεν ὧν καὶ λόγον ὑφέξει ἐν ἡμέρᾳ ἀνταποδόσεως· ὑμεῖς δὲ πᾶσαι, νέαι τε καὶ |87| μεσήλικες, γηραιαί τε καὶ ἔξωροι, ὅσα καὶ μητρὶ ταύτῃ προσανέχειν ὀφείλετε βουλῆς τε αὐτῆς καὶ γνώμης ἐξέχεσθαι, μηδὲν δὲ πράττειν
25 αὐθέκαστον, μὴ προϊέναι — τοῦτο γὰρ πρῶτον εἴπω — τῆς μονῆς ἄνευ ἐπιτροπῆς, μὴ δέχεσθαί τι ἐκ τῶν ἐκτὸς τῆς πρὸς αὐτὴν ἄτερ ἀναφορᾶς |87ᵛ| καὶ τῆς ἐκεῖθεν ἐνδόσεως, μὴ νοσήματος θεραπείαν, μὴ σώματος ἐπιμέλειαν μηδ' ἄλλο μηδὲν — καθάπαξ ἐρεῖν — τῆς τῆς προεστώσης γνώμης πράττειν χωρίς.

---

9. *suppl. om. cod.* | 18. *excisa membrana duo desunt versus.* | 21. ῶ *cod.* | 22. γηραιαί τε *cod.*

10. Εἰ δ' — ὅπερ ἀπεύχομαι — μὴ ἀξίως αὕτη φανείη ἀναστρεφομένη τῆς ἡμετέρας ταύτης διατυπώσεως, μᾶλ|88|λον δὲ τῆς μοναδικῆς καταστάσεως, οὐ χώραν μία τις καὶ δύο σχοῖεν στασιάσαι πρὸς ταύτην ἢ καί τι τῇ μονῇ ὁπωσδήποτε σκάνδαλον ἐμβαλεῖν, ἀλλὰ κοινώσονται ἀλλήλαις, εἰ τῶν προεχουσῶν εἶεν αἱ ἐπιγνοῦσαι, καὶ τῷ πνευματικῷ τὰ περὶ ταύτης γνωριοῦσι πατρί· |88ᵛ| εἰ δὲ τῶν ὑποδεεστέρων, ἀναγγελοῦσι ταῖς κρείττοσι· σὺν αἷς αὗται τῷ πνευματικῷ πατρὶ τὴν περὶ τούτου σκέψιν προσαναθήσουσι· καὶ ὃς θέμενος τὰ περὶ αὐτῆς εἰς ἐξέτασιν κοινῇ τῶν προκρίτων μοναχῶν γνώμῃ ταύτην μὲν μεταστήσει τῆς προστασίας, εἰ τοῦτό γε |89| δικαιώσει, ἑτέρᾳ δὲ τὴν ἡγουμενείαν κατὰ τὴν προρρηθεῖσαν τάξιν πιστεύσει· τάξει δὲ καὶ τὴν μὲν στέργειν τὴν περὶ ταύτης ἀπόφασιν ἢ ἐπαπειλήσεται σφοδρὰν ἐπιτιμίαν καὶ ἄτιμον ἀποδιοπόμπησιν· τῇ δὲ τὴν προστασίαν μεταλαβούσῃ στεργούσης ἐκείνης τὸ καθ' αὐ-|89ᵛ| τὴν τὴν προσήκουσαν ἀπονέμειν ταύτῃ φιλοφροσύνην τε καὶ τιμὴν εἰσηγήσεται, ὡς ἀτάραχον ἔνθεν βίον διατηρεῖσθαι ταῖς μοναχαῖς καὶ ὡς ἀληθῶς ἔνθεον.

ς'.

Περὶ τοῦ ἕνα πάσας πνευματικὸν ἔχειν
καὶ περὶ τοῦ πότε καὶ πῶς ὀφείλει
οὗτος παραβάλλειν ἐν τῇ μονῇ.

11. |90| Βούλομαι καὶ τοῦτο καὶ μητρικῶς ὡς εἰπεῖν ὑποτίθεμαι, μᾶλλον δὲ καὶ ἐνσκήπτω δεσποτικῶς· ἔξεστί μοι καὶ γὰρ ἐν τοῖς ἐμοῖς τὸ βουλητὸν θεσπίζειν, ἄλλως τε καὶ δεσποίνῃ τυγχανούσῃ τοῦ παντοδυνάμου Θεοῦ μου τοῖς οἰκτιρμοῖς. Ὑφ' ἑνὶ πνευματικῷ |90ᵛ| πάσας εἶναι θέλω πατρί, ὡς ἂν κἀντεῦθεν ἀδελφαὶ προσηκόντως ἀκούοιεν· τοῦτον δὲ τῶν ἐξειλεγμένων εἶναι καὶ μεμαρτυρημένων ἐπ' ἀρετῇ, εἴτε τῶν ἡσυχαστῶν οὗτος ὢν τύχοι εἴτε τῶν ἐν κοινοβίῳ,

---

9. θέμενος *corr. in ras.*

οὐ διαφέρομαι. Κατὰ δὲ μῆνα τάττω φοιτᾶν, τρεῖς |91| καὶ οὐ πλείους ἡμέρας προσκαρτερεῖν, τοὺς ἐν ξενῶνι ἀποτεταγμένους οἰκίσκους εἰς καταγωγὴν ἔχειν, ἐν δὲ μέρει τοῦ προτεμενίσματος ἑνὸς τοῦ τῶν ναῶν πρωΐαθεν ἐπιχωριάζοντα τοὺς ἑκάστης λογισμοὺς δέχεσθαι, εἰ μή τις ἀνάγκη ἀδελφῇ τινι συμπέσῃ θᾶττον ἐπιζητούσῃ |91ᵛ| τὴν ἐπιδημίαν αὐτοῦ· τότε γὰρ μηνυθεὶς ἐπιστήσεται καὶ ὡς εἰκὸς ἐπισκεψάμενος μεταστήσεται· ἀλλ' ὁ μέν, τῶν ἐκκρίτων ὡς ἔφημεν ὤν, οὐ λόγου, οὐ συμβουλῆς παρά τινος ἄλλου δεήσεται ἐπὶ τῷ καὶ ἀρίστως διαγινώσκειν καὶ ἀρίστως ψυχῆς ἰᾶσθαι παθήματα, ταῖς δ' ἴσως |92| ὑποθήκης χρεία καὶ εἰσηγήσεως.

12. Ὁ κατὰ πνεῦμα πατήρ, θυγατέρες, μητέρες καὶ ἀδελφαί, — ὡς γὰρ ὁ χρόνος ἑκάστῃ δίδωσιν ἀκούειν, οὕτω καλῶ, — μᾶλλον δὲ κατὰ Θεὸν τὸν πατέρα πάντων καὶ δημιουργὸν ἀδελφαί, τύπον ἐπέχει τοῦ κοινοῦ κριτοῦ καὶ δεσπότου Χριστοῦ. Ὃν οὖν τρόπον γυμνῶν |92ᵛ| καὶ τετραχηλισμένων παραστησομένων αὐτῷ τὰ κρύφια ἡμῶν ἀνακαλυφθήσεται, προσβολάς φημι, πάλας, συγκαταθέσεις, πράξεις, οὕτω γε καὶ ἐπίπροσθεν τοῦ εἰς τύπον ἡμῖν ἐκλεγομένου Χριστοῦ τὰς πράξεις, τὰς ἐνθυμήσεις ἀπερικαλύπτως χρὴ |93| παριστᾶν, ὡς καὶ θεραπείαν ἐπὶ τούτοις λαμβάνοιτε. Καθὰ δὴ καὶ ὁ τῆς κλίμακος Ἰωάννης φησί· « μώλωπες θριαμβευόμενοι οὐ προκόψουσιν ἐπὶ τὸ χεῖρον ». Καὶ αὖθις· « ψυχὴ ἐξαγόρευσιν ἐννοουμένη ὡς ἀπὸ χαλινοῦ ὑπ' αὐτῆς κατέχεται μὴ ἐξαμαρτάνειν ».

13. Πάντα μὲν οὖν ἐξαγγελτέον αὐ|93ᵛ|τῷ, τοὺς λόγους, τὰς πράξεις, τὰ διαβούλια, πλὴν τῶν ἀνεξαγορεύτων καλουμένων οὕτωσι λογισμῶν, οὓς ἀνεκλαλήτους παραλιμπάνειν οἱ θεῖοι πατέρες θεσπίζουσιν· οὕτω δὲ καὶ τὴν ἐξ αὐτοῦ θεραπείαν τῶν παθῶν δέχεσθαι, τὰς ἐπιτιμίας, τὰς συγχωρήσεις, |94| ὡς ἐξ αὐτοῦ τοῦ Χριστοῦ ἢ τῶν τινος ἀποστόλων τούτου καὶ μαθητῶν, ὡς ὃ μὲν ἂν λύσῃ λελυμένον νομίζειν εἶναι καὶ ἐν τοῖς οὐρανοῖς, ὃ δ' ἂν δήσῃ δεδεμένον ἡγεῖσθαι καὶ ἐν τοῖς οὐρανοῖς. Τοσαυτάκις μὲν δὴ τοῦ ἐνιαυτοῦ φοιτῶν εἴη ὁ πνευματικὸς πατὴρ παρὰ τῇ μονῇ.

---

20. Iohannis Climaci Scala Paradisi 4, P. G., 88, 681. — 28. Matth. 16, 19.

ζ'.

|94ᵛ| Περὶ τοῦ ἄνευ δώρων προσίεσθαι τὰς προσερχομένας ἑκάστοτε τῇ μονῇ.

14. Χρὴ δὲ πάντως καὶ περὶ τῶν προσιουσῶν παραδοῦναι τὸ βουλητόν· ἡ μὲν βασιλεία μου αὐτάρκως ὡς οἴομαι ταῖς μοναχαῖς αὐτίκα δὴ τὰ πρὸς χρείαν δια|95|τετάξεται δίδοσθαι, ὅθεν καὶ οὐκ ἀπαιτηθήσεταί τι τὸ παράπαν ταῖς ἑκάστοτε προσερχομέναις, οὐκ ὀλίγον οὐ πολύ, οὐ μέγα οὐχὶ μικρόν, ἀλλ' οὐδ' ἡ οὕτω πως καλουμένη συνήθως εὐλογία. Εἰ δέ τις αὐθαιρέτως προσενεγκεῖν τι θελήσειε, δεχθήσεται μὲν |95ᵛ| τὸ προσενεχθέν, αὕτη δ' οὐδεμίαν ἐντεῦθεν πρόφασιν ἕξει μεγαλαυχίας καὶ κόμπου, ὡς κατεπεμβαίνειν τῶν ἀδελφῶν ὁπωσδήποτε ἢ καί τι τῆς διατεταγμένης ἐναλλάττειν διαγωγῆς, ἀλλ' ὡς εἰ καὶ μηδὲν προσενήνοχε διάγειν ὀφείλει τὴν ἰσοτιμίαν τε στέργουσα καὶ τῷ |96| κανόνι τῷδε στοιχοῦσα καὶ τῇ κοινῇ πασῶν ἐπαγγελίᾳ ἐμμένουσα.

η'.

Περὶ τοῦ μὴ ἐξιέναι τὰς μοναχὰς καὶ περὶ τοῦ πῶς οἱ παραβάλλοντες ὀφείλουσιν ἐντυγχάνειν αὐταῖς καὶ τίνες καὶ πότε καὶ ποῦ.

15. Πᾶσαι δ' ὁμοῦ ἀπρόϊτοι διὰ βίου τηρηθήσονται, εἰ μή τις πεῖραν ἐκ τοῦ χρόνου |96ᵛ| δοῦσα τῆς ἀρετῆς ἀνάγκης ἐνστάσης τῶν τινος προσηκόντων ἢ προσηκουσῶν ἐξελεύσεται πρὸς ἐπίσκεψιν, καὶ διὰ τάχους αὖθις ὑποστραφήσεται· εἰ δὲ τῶν τοιούτων μὴ εἴη, γηραλέαι μοναχαὶ συνακολουθήσουσι καὶ ἡλίου ἔτι φαίνοντος ὑποστρέψουσι. Κἂν εἴ τις τῶν |97| γνησίως πρὸς αὐτὴν ἐχόντων παραβαλεῖν ἐθελήσειε, πρὸ τοῦ πυλῶνος στᾶσαν μετὰ καὶ ἀδελφῶν κοσμίων θεάσεται, καὶ ἡ ἀρκούντως διομιλήσασα ἔμπροσθεν τούτων συντάξεται

καὶ ταύταις συνυποστρέψει. Ταῦτα δ' ἡ βασιλεία μου τῷ ἀσθενεῖ τῆς |97ᵛ| φύσεως συγκατιοῦσα διακελεύεται· οὐκ ἀγνοεῖ γάρ, ὡς ὁ μοναδικὸς ἄλλα διαγορεύει θεσμὸς ἀπείργων τῶν τοιούτων παντάπασι γονέων τε θεσπίζων καὶ παίδων αὐτῶν ἀλλοτρίωσιν, μὴ ὅτι γε ἀδελφῶν ἢ καὶ προσηκόντων ἄλλως ἢ καὶ φίλων ἐκ μακροῦ |98| καὶ συνήθων.

16. Ὡσαύτως δὲ καὶ τοῖς παρὰ τὴν μονὴν φοιτῶσιν αἱ πύλαι παντάπασιν ἐπιζυγωθήσονται· οὐδεὶς γὰρ ἄλλος βασιλέως χωρὶς καὶ τῶν σὺν βασιλεῖ μετρίων τούτων καὶ ἐκκρίτων ἀνδρῶν τὴν μονὴν εἰσελεύσεται, εἰ μὴ |98ᵛ| τῶν προσγενῶν τις τῇ βασιλείᾳ μου ἰδεῖν τε θέλων καὶ προσκυνῆσαι τοὺς θείους ἐξ εὐσεβείας νεὼς ἢ καὶ τοὺς τῶν μεταστάντων τάφους πόθου χάριν τοῦ πρὸς ἐκείνους θεάσασθαι· εἰ δὲ τῶν θυγατέρων εἴη τῆς βασιλείας μου, εἰ τῶν ἐγγόνων, εἰ τῶν ἀπεγγόνων, εἰ τῶν ἄλλως προση|99|κουσῶν ἢ καὶ τῶν τις περιφανῶν γυναικῶν, εἰσελεύσεται μέν, εὐνοῦχοι δὲ μόνοι ἢ καὶ γυναῖκες χρόνου πλήρεις συνεισελεύσονται· εἰ δ' ἐνσκήψειέ τινι νόσος βαρεῖα, προσίοι δὲ μήτηρ ἢ ἀδελφὴ ἢ καὶ τῶν τις ἄλλως προσηκουσῶν ἀδιάβλητος τὸν τρόπον μεμαρτυρημένη καὶ τὴν |99ᵛ| βιοτήν, ἀνενεγκοῦσα τῇ καθηγουμένῃ διὰ τῆς πυλωροῦ τὴν εἴσοδον προτραπήσεται· καὶ εἰσιοῦσα συνδιημερεύσει μὲν τῇ καμνούσῃ, ἑσπέρας δὲ ἀπελεύσεται. Εἰ δὲ προσδόκιμος ταύτῃ ὁ θάνατος, ἔωθεν καὶ πάλιν ἐφισταμένη ἑσπέρας ἀποφοιτῴη μηδὲν μηδ' ὁπωσοῦν διδοῦσα |100| τῇ μονῇ πρόσκομμα, ἕως ἂν ἐπιδήλως τῇ νοσούσῃ ἢ διαμείνῃ ζωὴ ἢ διαδέξηται θάνατος.

θ'.

Περὶ τοῦ πόσον χρόνον δεῖ προσμένειν τὴν μέλλουσαν ἀποκαρῆναι.

17. Βούλεται καὶ τοῦτο ἡ βασιλεία μου τῇ ἡμετέρᾳ διατηρεῖσθαι |100ᵛ| μονῇ, τὴν προσιοῦσαν τῇ μονῇ πρὸς ἀπόκαρσιν, εἰ μὲν ἔτι τυγχάνει νεάζουσα μήπω γε εἰκοστὸν <ἔτ>ο<ς> φθάσασα,

13. ἐκγόνων *cod.* | 14. ἀπεκγόνων *cod.* | 18. καὶ *suppl. om. cod.* | 22. μηδοπωσοῦν *cod.*

τριετίαν <προσκαρτερεῖν τῇ μονῇ, μοναχικὰ φέρουσα> ἱμάτια, τὴν αὐτὴν δὲ ταῖς μοναχαῖς ἀπαραλλάκτως διαγωγὴν ἔχουσαν, διαφόροις ὑπηρεσίαις ἀνατιθεμένην, |101| ἐκ ταύτης τε εἰς ἐκείνην προθύμως μεταβαίνουσαν καὶ ἐξ ἐκείνης ταύτην μεταλαμβάνουσαν, εἴ γε ὑπὸ τῆς καθηγουμένης τοῦτο προστάσσοιτο· γνώμης γὰρ ταύτης χωρὶς οὐχ ὅτι γε τὰς μήπω τελεσθείσας βούλομαι μοναχὰς παραιτεῖσθαι τὰς καταπιστευομένας δια|101ᵛ|κονίας, ἀλλ' ἤδη καὶ τὰς φθασάσας ἐν βίου τε καὶ σχήματος τελειότητι· ἐπὰν δὲ καὶ οἱ τρεῖς ἀνυσθεῖεν ἐνιαυτοί, ἐρωτᾶσθαι πασῶν παρουσίᾳ τῶν ἀδελφῶν καὶ εἰ μὲν ὅλῃ γνώμῃ πρόσηται τὴν ἀποταγήν, τὰ νενομισμένα παρευθὺς ἐκτελεῖν ῥάκη τε μεταμφιεννύειν καὶ νυμφεύειν |102| περιφανῶς τῷ Χριστῷ· εἰ δ' οὖν, συγχώρησίν τε διδόναι καὶ τὴν ἐπ' οἴκου προτρέπειν πορεύεσθαι.

18. Εἰ δ' ὑπερβᾶσα μὲν τὸν εἰρημένον εἴη χρόνον, ἄπειρος δὲ βίου καὶ συναντημάτων βιωτικῶν, ὅλον προσμένειν ἐνιαυτόν· εἰ δὲ πλήρης ἡμερῶν τυγχάνοι ἢ καὶ πεῖραν οὕτω τυχὸν |102ᵛ| εἰληφυῖα τῶν δυσχερῶν, χηρείας φημὶ ἢ παίδων ἀποβολῆς ἢ καί τινος ἄλλου τῶν ἐν κόσμῳ δεινῶν, ἓξ μόνους μῆνας προσκαρτερήσασαν τῷ θείῳ καὶ ἀγγελικῷ τελειοῦν σχήματι. Εἰ δὲ βρεφόθεν τις ἢ παιδόθεν τῇ μονῇ προσενεχθείη τῶν περιφανῶν |103| οὖσα ἢ καὶ τῶν τύχην ἰδιωτῶν — περὶ γὰρ τούτου οὐ διαφέρομαι — διά τι πως τῶν ἐκ τύχης ὁποῖα συμβαίνειν φιλεῖ σύμπτωμα ἢ καὶ διὰ πόθον ἄλλως τὸν πρὸς Θεόν, τὸν ἑξκαιδέκατον ἀναμενεῖ χρόνον κᾶτα ἐρωτηθεῖσα παρρησίᾳ καὶ ἀποκριναμένη καὶ πασῶν |103ᵛ| εἰς ἐπήκοον τελειωθήσεται ὡς νενόμισται· εἰ δ' οὖν, τὴν συγχώρησιν λαβοῦσα τὸ πρὸς βούλησιν διαπράξεται. Ἐξέσται δὲ ταῖς μὴ ἀποκαρῆναι θελησάσαις, εἴτε ἐν ἀτελεῖ εἴτε ἐν τελείᾳ τῇ ἡλικίᾳ προσεληλύθεσαν εἴτε καὶ ἐκ βρεφικῆς ἀνετέθησαν, κτήματα μὲν |104| ἀπολαμβάνειν τῶν προσόδων χωρίς, χρήματα δὲ οὐδαμῶς. Τὰς δέ γε ἀποκαρείσας καὶ τὴν ὑποταγὴν στερξάσας μηδὲν μηδ' ὁπωσοῦν λαμβάνειν ἀποφοιτώσας ἢ καὶ δι' αἰτίαν ἀποδιοπομπουμένας πάντως προσήκουσαν καὶ ἀφορμὴν ἀξιόλογον.

---

1. *excisa membrana duo desunt versus; suppl. ex coniectura.* | 30. μηδοπωσοῦν *cod.*

ι΄.

|104ᵛ| Περὶ τοῦ προσίεσθαι καὶ τὰ παρ' ἑτέρων μετὰ γνώμης θεοφιλοῦς προσαγόμενα.

5 19. Προσίεσθαι καὶ τὰ παρ' οἱωνδήτινων γνώμῃ θεοφιλεῖ προσαγόμενα βούλομαι, κτήματά τε καὶ χρήματα, σκεύη τε καὶ ἔπιπλα, εἰς εὐπρέπειαν |105| τῶν οἴκων Θεοῦ καὶ τῶν προσενεγκάντων μνημόσυνον.

ια΄.

10 Περὶ τοῦ προσδέχεσθαι καὶ τὰς ἐξ ἑτέρων μονῶν σεμνοῦ καὶ ἀδιαβλήτου βίου μαρτυρουμένας.

20. Ἐνδιδόαμεν καὶ τὰς ἐξ ἄλλων μονῶν σεμνοῦ καὶ ἀδιαβλήτου βίου μαρτυρουμένας προσ|105ᵛ|δέχεσθαι ἀνελιττομένης τῆς ἡμετέ-
15 ρας ταύτης διατυπώσεως καὶ τὴν ἐνδιατεταγμένην ὑπισχνουμένας στέργειν διαγωγήν.

ιβ΄.

Περὶ τοῦ πῶς δεῖ γίνεσθαι τὰς προχειρίσεις τῶν διακονητριῶν καὶ περὶ ἐκκλησιαρχίσσης, σκευοφυλακίσσης καὶ περὶ
20 τῶν ἄλλων διακονητριῶν.

21. |106| Χρὴ δὲ ἴσως καὶ περὶ τῶν εἰς διακονίας προβαλλομένων ἐρεῖν· τὰς μὲν δὴ τὰς πρώτας πιστευομένας τῶν διακονιῶν, οἰκονομίαν, ἐκκλησιαρχίαν, κειμηλίων τε καὶ ἱερῶν σκευῶν φυλακὴν — καὶ τὴν τῶν πυλῶν προσθήσω συντήρησιν· ἀξιόλογον γὰρ καὶ τὴν
25 θυ|106ᵛ|ρωρὸν οἴομαι δεῖν ἐπιλέγεσθαι, ἐν ἀσφαλεῖ τηρεῖσθαι τὴν μονὴν θέλουσα· — ταύτας οὖν πάσας εἰδήσει τοῦ πνευματικοῦ πατρὸς

ἡ καθηγουμένη προβαλεῖται καὶ τὴν ἐπεξέλευσιν, εἴ τί πως τοῦ προσήκοντος ἐκτραπεῖεν, σὺν τούτῳ ποιήσεται τῇ τούτου ἐπικρίσει τῶν προκρίτων |107| τε ἀδελφῶν εἰδήσει πρὸς λόγον διεκδικοῦσα τοῦ πταίσματος· τὰς δὲ τῶν ἄλλων καὶ μόνη ἡ προεστῶσα διανεμεῖ ταῖς προεχούσαις κοινωσαμένη τῆς ἀδελφότητος. 5

22. Ἑκάστη δὲ τούτων καὶ ἐγκαταγεγραμμένον κατ' εἶδός τε καὶ ποσότητα λαμβάνειν ὀφείλει τὸ πιστευόμενον σημειοῦσθαι τε ὅσον γε καὶ οἷον |107ᵛ| παρέλαβεν, ὡς καὶ λόγον αὖθις ἔχειν ἀποδιδόναι καὶ ἀνυπεύθυνος ἐν καιρῷ λογοποιΐας εὑρίσκεσθαι· καὶ τῶν ἄλλων μᾶλλον ἡ τῶν σκευῶν πιστευομένη τὴν φυλακὴν καὶ τῶν χρειωδῶν τὴν 10 εἰσκομιδήν — δοχειαρίαν σύνηθες αὐτὰς καλεῖν καὶ σκευο|108|φυλάκισσαν — ἑκατέρᾳ δ' αὐτῶν δύο συνέσονται ὑπ' αὐταῖς μὲν ἀκριβῶς δὲ τῶν ἀνατιθεμένων ταύταις συνίστορες· ἐν φανερῷ δὲ καὶ ἄμφω ταῖς ἰδίαις διακονίαις ἀνατίθεσθαι βούλομαι καὶ γράμμα συμπαραλαμβάνειν καὶ γράμμα ἀντιδιδόναι, τὰ αὐτὰ περὶ τῶν αὐτῶν |108ᵛ| 15 διαλαμβάνον. Ἀλλ' ἡ μὲν ἅπαξ, ὅτε δὴ παραλαμβάνοι τε καὶ ἀποδιδοίη τὰ πιστευόμενα, ἡ δὲ κατ' ἔτος, ὅτι καὶ κατ' ἔτος εἰσδέξεται, καὶ κατ' ἔτος οἰκονομήσειεν.

23. Ἡ μέντοι σκευοφυλάκισσα τῶν ἱερῶν τε σκευῶν καὶ ἐπίπλων προνοήσεται, ὡς εἰληθερεῖσθαι, ὅτε καιρός, ὅσα δέον |109| 20 αὐτῶν καὶ εἰς ἀέρας μετεωρίζεσθαι τά τε χαρτῷα τῆς μονῆς δικαιώματα ἐν κιβωτίοις δεξιῶς ἀσφαλίζεσθαι καὶ τὸ μὲν εἰς χρῆσιν ἰὸν προκομίζειν ἐπιτρεπούσης τῆς ἡγουμένης καὶ τῶν προκρίτων συμπαρουσῶν ἀδελφῶν, πάλιν δ' ἀναζητεῖν καὶ λαμβάνουσαν συμπαρου-|109ᵛ|σῶν τῶν αὐτῶν τῇ θίβῃ ἐναποκλείειν καὶ σφραγῖδα ἐπιτιθέναι· 25 ὡς δὲ καὶ τὰ ἀπόθετα τῶν νομισμάτων καὶ τῶν σκευῶν ὅσα τε παρὰ τῆς ἡμετέρας νῦν βασιλείας ἀποτίθενται καὶ ὅσα ἂν εὐδοκοῦντος Θεοῦ ἐκ περισσείας προσόδων εἰς νέωτα ἢ καὶ ἐκ προσαγωγῆς φιλοθέων |110| τινῶν προσκτηθήσονται.

24. Ὑφ' αὐτῇ δὲ τὴν ἐκκλησιάρχισσαν ἕξει, πρόβλησιν μὲν ἐκ 30 τῆς καθηγουμένης λαμβάνουσαν, ταύτης δὲ δεομένην σκευῶν τε χάριν τῶν ἐν χρήσει τῇ καθ' ἡμέραν καὶ βίβλων ψαλλομένων τε καὶ

16, 17. κατέτος *cod.* | 19. κευοφυλάκισσα *cod.* | 30. ὑπ' αὐτῇ *cod.*

ὑπαναγινωσκομένων σκευῶν τε αὖ καὶ ἐπίπλων ἐριτίμων, |110ᵛ| ὅσα γε ἂν παρά τε δὴ ταῖς μεγίσταις τῶν ἑορτῶν καὶ μᾶλλον ἐφ' αἷς ἑορτάζειν τὴν μονὴν τάξομεν παρά τε τοῖς μνημοσύνοις τῶν κτητόρων εἰς χρῆσιν ἔρχοιντο· ἡ δὴ καὶ φροντιεῖ μὲν τῆς αὐτῶν φυλακῆς
5 καὶ τῆς ἑκάστου τούτων κατὰ καιρὸν ἀναλήψεώς τε καὶ ἀποδόσεως, φροντιεῖ δὲ καὶ τῆς τῶν νεῶν |111| φωταγωγείας ὅση τε δι' ἐλαίου καὶ ὅση διὰ κηροῦ. Ἀλλ' ἐκεῖνα μὲν ἔσται παρέχουσα ἡ σκευοφυλάκισσα τῶν ὑπὸ ταύτῃ δυοῖν συνειδυιῶν· δύο γὰρ ταύτας εἶναι ταύτῃ συνίστορας βούλομαι· ἡ δοχειαρία δὲ ταῦτα· ἕξει δὲ καὶ αὕτη
10 ὑφ' αὐτῇ συνεκκλησιάρχισσαν, πάντ' εἰδυῖαν, πάντα ταύτῃ συμπράττουσαν, |111ᵛ| οἰκονομίᾳ δὲ πάσῃ ἄλλῃ τῶν ἔνδοθι τῆς μονῆς ἡ δοχειαρία ἐνέξεται, ἢ καὶ μελήσει, τί περ αἱ ἀδελφαὶ καθημέραν ἑστιαθήσονται καὶ τί μὲν εἰς ὀψώνιον δοθήσεται, ὅπως τε σκευασθήσεται καὶ ὅπως γε μερισθήσεται, ὅσος καὶ οἷος οἶνος ἀναλωθή-
15 σεται, περὶ παντὸς τῶν τοιούτων ταῖς διακονούσαις ἐντελλομένη |112| λεπτομερῶς.

ιγ'.

Περὶ οἰκονόμου καὶ περὶ τοῦ δεῖν κοινοβιακὴν εἶναι τὴν μονὴν καὶ περὶ τοῦ μὴ
20 κτᾶσθαί τι τὰς μοναχὰς ἰδίᾳ καὶ ἀναμέρος καὶ περὶ τοῦ τυπικὸν τοῦ ἁγίου Σάβα συντηρεῖσθαι ἐν τῇ μονῇ.

25. Οἰκονόμος δὲ τῶν κτημάτων πάντων τῶν τῆς μονῆς τῶν ἐγγὺς καὶ τῶν πόρρωθεν εἷς ἔσται, τοῖς ἑκασταχοῦ κτήμασιν ἐφιστὰς
25 ὑποδεεστέρους ἄλλους, |112ᵛ| ὡς ἔχοι διακρίνειν αὐτός, ἢ ἕνα ἐφ' ἑνὶ ἢ ἕνα ἐπὶ πολλοῖς· τούτῳ δὲ καὶ μισθοῦ δίδοσθαι τάττω χρυσοῦς ἓξ πρὸς τοῖς τριάκοντα καὶ σίτου μεδίμνους ἀννονικοὺς ἑκατὸν καὶ κριθῆς ἑκατὸν καὶ οἴνου μέτρα ἑκατόν· εἴτε δὲ τῶν ἀνδρῶν εἴη οὗτος εἴτε τῶν εὐνούχων, οὐ διαφέρομαι, |113| σεμνοῦ δὲ βίου καὶ ἀδια-

---

3. ἑορτάζειν *in ras.* | 8. δυεῖν *cod.* | 10. ὑπ' αὐτῇ *cod.* | 27. ἀνοννικοὺς *cod.*

βλήτου τρόπου τοῦτον ἐκλέγεσθαι ὑπό τε τῆς προεστώσης καὶ τῶν προκρίτων μοναχῶν καὶ τοῦ πνευματικοῦ τούτων πατρὸς βούλομαι· προχειρίζεσθαι δὲ εἰς οἰκονομίαν οὕτωσί πως διακελεύομαι· εἰσελεύσεται τὸν ναὸν τοῦ πνευματικοῦ παρόντος πατρὸς καὶ συμπαρατυχόντος |115ᵛ| ἑνός του τῶν πρεσβυτέρων γονυκλιτήσει τρὶς τῆς εἰκόνος τῆς θεομήτορος ἔμπροσθεν, εἶτα εὐλογίας παρά τε τοῦ πνευματικοῦ τυχὼν πατρὸς παρά τε τοῦ συμπαρόντος ἱερέως οἰκονόμος ἔνθεν ἀκούσει καὶ τῶν τῆς μονῆς τοῦ λοιποῦ κτημάτων ἔσται ἐπιμελούμενος, ἀγροὺς ἀμπελῶνας τὰ εἰκότα περιέπων, |114| ἔστι δὲ ὅπῃ καὶ νεουργῶν καὶ πᾶσιν ἀξίαν τοῖς κτήμασι προμήθειαν ἐνδεικνύμενος, τῶν ἐντὸς ἅμα καὶ τῶν ἐκτὸς ὡς εἰκὸς προνοούμενος, ὡς μὴ λύμην τινὰ ἐπισυμβῆναι ὀρόφῳ ναοῦ, οἰκήματος στέγει, τοῦ ξενῶνος περιβόλῳ, ἢ τῆς μονῆς τὰς ἑκασταχόθεν πενονηκυίας οἰκίας |114ᵛ| ἀναλαμβάνων, γῆς ἀφαίρησιν ἢ παρυφαίρεσιν, ἑτέρου τινὸς μείωσιν ἢ μὴν ἀχρείωσιν μὴ ἐπισυμβαίνειν παραχωρῶν, ἀλλ' ἀπρὶξ τῶν τῆς μονῆς ἀντεχόμενος καὶ ἐκθύμως προμηθευόμενος πιστὸς ὡς ἀληθῶς οἰκονόμος καὶ φρόνιμος ἂν . . . αἰνοιτο. . . . . .

26. |9| . . . καὶ κοινοῦσθαι τῇ καθηγουμένῃ περὶ ὧν αὐτῷ χρεία τῶν προκρίτων συμπαρουσῶν μοναχῶν καὶ ἐφ' ἡμέρᾳ ῥητῇ καὶ ἐξιέναι πρὸ τοῦ ἀρίστου· εἰδ' ἔχει τι καὶ ἔτι ἐπάναγκες, ἔν τινι τῶν τοῦ ξενῶνος ἀριστᾶν οἰκημάτων καὶ δείλης αὖθις φοιτᾶν καὶ πρὸ ἑσπέρας ἀποχωρεῖν, μηδεμίαν |9ᵛ| φαύλης ὑποψίας χώραν διδούς.

27. Ἐπεὶ δ' ἐκλογῆς ἡγουμένης ἐμνήσθην καὶ διακονιῶν προχειρίσεως, μέτρι' ἄττα βούλομαι συμβουλεῦσαι ταῖς τῶν διακονιῶν ἀξιουμέναις καὶ μή· αἱ μὲν ἴστε ὡς ἀδόλῳ γνώμῃ καὶ προμηθείᾳ συντόνῳ ἐπειλῆφθαι |10| τῶν ἀνὰ χεῖρας ὀφείλετε· ὡς γὰρ παρ' αὐτῆς τῆς δεσποίνης καὶ θεομήτορος εἰληφυίαις, τοῦ Προδρόμου καὶ βαπτιστοῦ μεσιτεύσαντος, καὶ λόγον ταύτῃ μελλούσαις δοῦναι τῆς διοικήσεως, οὕτω τὰ ἐμπιστευθέντα διενεργεῖν ὑμῖν δίκαιον. Αἱ δ' ἀπραγμόνως ζῆν εἱλη|10ᵛ|χυῖαι τὸ καθ' αὑτὰς στέργειν καὶ ὑποτάσσεσθαι, ὡς καὶ ὁ θεῖος ὑμῖν ὑπαγορεύει Παῦλος, πείθεσθαι τοῖς ἡγουμένοις καὶ ὑπείκειν παρεγγυώμενος καὶ τὴν αἰτίαν ἀποδιδούς· αὐτοὶ γὰρ

---

14. ἀναλαμβάνειν *cod.* | 22. ὑποψίαν *corr.*, *prius* ὑποψίας? *cod.*

ἀγρυπνοῦσιν ὑπὲρ ὑμῶν καὶ λόγον ὑπὲρ τῶν ψυχῶν ὑμῶν ἀποδώσουσι· |11| καὶ ἕτερός τις θεῖος πατήρ· « εἰ λόγον ὑπὲρ ἡμῶν ἀποδοῦναι μέλλουσιν οἱ ἡμῶν ἐπιμελόμενοι, πῶς οὐχὶ κατὰ πάντα τούτοις καὶ ἡμεῖς ὑποταγησόμεθα; » χρεὼν μὲν γὰρ ταῖς προεστώσαις, αὐτῇ τε τῇ καθηγουμένῃ καὶ ταῖς ἐπειλημμέναις |11'| διακονιῶν ὑπερεχουσῶν, ὁμοφρονεῖν ἀλλήλαις καὶ ὑπὲρ τῶν κοινῶν φροντίζειν καὶ πάσας ὁμοῦ συντηρεῖσθαι πρᾴους, ἀοργήτους, φιλαλλήλους, εἰρηνικάς, πάντα δὲ τρόπον τὰ πρὸς σωτηρίαν ἑαυτῶν τε καὶ τῶν ἄλλων σκοπεῖν, ὡς |12| εὔοδα καὶ τὰ τῶν εὐχῶν ὑμῖν εἴη, ἃς ὑπέρ τε ἑαυτῶν ὑπέρ τε τοῦ χριστιανικοῦ πληρώματος καὶ ὑπὲρ αὐτῶν δὴ τῶν τῆς ὑμετέρας ταύτης κτητόρων μονῆς ἀναπέμπειν τέταχθε τῷ Θεῷ, τὰ ἑαυτῆς συνορώσης καὶ ἑαυτῆς μόνης ἑκάστης κατα|12'|γινωσκούσης, τὰ ἐν τοῖς ἰδίοις ὀφθαλμοῖς κάρφη κατανοούσης ὡσεὶ δοκούς, τὰς δὲ δοκοὺς τὰς ἐν ἄλλων ὀφθαλμοῖς ὡσεὶ κάρφη περιορώσης καὶ φαρισαϊκὴν διεκφευγούσης ἀπόνοιαν· εἰ δέ τις πταῖσμά τινος ἢ πάθος κατανοήσειε . . . . . .

. . . . . .

28. . . . |1| τῷ στήθει Χριστοῦ προσφιλὴς μαθητής· « ὁ Θεός », φησίν, « ἀγάπη ἐστὶ καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ ἐν τῷ Θεῷ μένει καὶ ὁ Θεὸς ἐν αὐτῷ » . . . τῷ περὶ πλείστου Θεός τε καὶ Θεοῦ μαθηταὶ . . . γεῖν ἀγάπην πεποίηνται. Τί γὰρ δεῖ φύσιν λέγειν κοινωνικὸν |1'| ἀρχῆθεν ζῷον ἀπεργασαμένην τὸν ἄνθρωπον καὶ φιλάλληλον; δεῖ τοίνυν ὑμᾶς, ἀδελφαί, διώκειν μὲν τῆς ἀρετῆς τὴν ἀκρότητα. τῆς δὲ ὑψοποιοῦ μὴ ὑπερορᾶν ταπεινώσεως, τῆς δὲ ἀγάπης ὁλοψύχως ἀντέχεσθαι καὶ πάσας μὲν τὰς ἐν τῷ ἱερῷ τῷδε |2| περιβόλῳ τῆς αὐτῆς εὐλαβείας ἀντιποιεῖσθαι ὡς καὶ τῆς αὐτῆς κατὰ Θεὸν οὔσας προθέσεως, μᾶλλον δὲ τῶν ἄλλων τὰς περὶ τὸν ἱερὸν σηκὸν καὶ τὴν θείαν ὑμνῳδίαν ἀσχολουμένας, ἅτε καὶ λατρεύειν τῷ ὑπεροῦσίῳ καὶ ἀ|2'|παθεστάτῳ τεταγμένας Θεῷ καὶ τύπον ἀκραιφνῆ λαχούσας ἀγγελικόν· ἄνω μὲν γὰρ ὑμνοῦσιν ἐνθεώτερον ἄγγελοι, κάτω δὲ σεμνότερον τὰ πρὸς ὑμνῳδίαν ἐξειλεγμένα τῶν ἀνθρώπων συντάγματα, κἀκεῖνοι μὲν ἀδιαλεί|3|πτως οἱ δὲ συνεχέστερον,

1. Hebr. 13, 17. — 13. Matth. 7, 3. — 18. Ioh. 4, 16.

2. ὑμῶν *cod.* | 4. ὑμεῖς *cod.* | 16. *unum saltem deest folium.*

κἀκεῖνοι ἀπαθῶς οὗτοι ἀκιβδήλως. Ἀλλ' εἴητε πᾶσαι Θεοῦ διὰ παντὸς μνήμην ποιούμεναι, ὡς καὶ ὁ θεῖος διδάσκει Βασίλειος· τοῦ γὰρ « μνημονευτέον Θεοῦ ἢ ἀναπνευστέον » αἱ ἀναγνοῦσαι πάντως ἢ καὶ |5ᵛ| ἄλλως διακούσασαι μέμνησθε.

29. Ὥρα δὲ λοιπὸν καὶ περὶ τῆς διαίτης φάναι τῶν μοναχῶν. Ὡς ὁ Θεῖος Σάβας διατυποῖ, οὕτω καὶ ψάλλειν οὕτω καὶ νηστεύειν ὑμᾶς βούλομαι, ταῦτ' ἐσθίειν τούτων ἀπέχεσθαι, ὧν ἀπείργει ἅπερ |4| ἐνδίδωσι, πάσας δὲ τῇ κοινῇ τραπέζῃ συνάγεσθαι καὶ μηδὲν ἐν τῇ κέλλῃ μήτ' ἔχειν μήτ' ἐσθίειν, εἰ μή τις διὰ νόσου βάρος συγχωρήσει τῆς προεστώσης ἐκ τοῦ ταμείου τὰ πρὸς χρείαν ἔχει λαμβάνουσα· ἐσθίειν δὲ ὡς μίαν ἢ σχεδὸν οὐδεμίαν |4ᵛ| ὅσον ἐπὶ τῷ θόρυβόν τινα καὶ ὄχλον ἐμποιεῖν, ὅλας δ' ἐξηρτῆσθαι τῆς ἀναγνώσεως, μιᾶς ὑπαναγινωσκούσης ὅπερ ἂν ἡ τὴν ἐκκλησιαρχίαν ἐμπεπιστευμένη ἐγκρίνειν ἔχοι. Ἀλλ' οὐδέ τι παρά τινός τις αἰτήσεται· πῶς γάρ, μήτ' ἐκείνην |5| ἔχειν μήτ' αὐτὴν ἰδιοῦσθαι ἐξόν; ἀρκούμεναι δ' ἔσονται τῷ κοινῷ ταμείῳ καὶ τῇ ὁσημέραι προτιθεμένῃ τροφῇ· ὡς δὲ κἀπὶ τῇ τάξει τῆς καθέδρας ἔχειν, ὡς μήτε προκαθεδρίας ἀμφισβητεῖν μήτε τροφὴν ἐνηλλαγμένην |5ᵛ| ζητεῖν διὰ γένους τυχὸν περιφάνειαν ἢ λόγου προτέρημα ἢ δοκούσης ἀρετῆς πλεονέκτημα ἢ χρόνου πρεσβεῖον ἢ χρημάτων ἢ κτημάτων προσαγωγὴν ἤ τι τῶν ὅσα φυσιοῖ τὸν ἄνθρωπον καὶ ἀποξενοῖ τοῦ Θεοῦ.

30. Ἱερουργεῖν δὲ τὴν ζωηφόρον |6| Χριστοῦ θυσίαν τετράκις τῆς ἑβδομάδος καὶ βούλομαι καὶ διακελεύομαι, ἅμα καὶ ἐν ἀμφοῖν τοῖν ναοῖν. Εἰ δὲ καὶ τῶν δεσποτικῶν τις ἑορτῶν παρεμπέσοι ἢ τῶν περιφανῶν τινος ἁγίων μνήμη, ἱερουργητέον καὶ τότε, πλὴν καὶ ταύτας |6ᵛ| ἀδιαλείπτως ἐκτελεστέον· ἄνευ γὰρ τῶν καθ' ἑκάστην κυριακὴν καὶ τῶν ἐπὶ ταῖς παρεμπιπτούσαις ἑορταῖς μελλουσῶν προσάγεσθαι θυσιῶν, τέτταρας κατὰ πᾶσαν ἑβδομάδα τελεῖσθαι διατυπῶ. Τεσσάρων δὲ ὄντων τῶν πρεσβυτέρων, ἀπροσκό|7|πως καὶ τὰ τῶν θυσιῶν τελεσθήσονται. Ἄρτους δ' ἐφ' ἑκάστῃ προσενεκτέον ὀκτώ, ἕνα μὲν δεσποτικόν, ἕτεροι τῆς ἀειπαρθένου δεσποίνης καὶ θεομήτορος, ἄλλον εἰς ὄνομα τοῦ κατὰ τὴν ἡμέραν ἁγίου, ἕτερον

---

5. *in margine man. rec.* : περὶ τοῦ τιπικοῦ τοῦ ἁγίου Σάβα.

ὑπὲρ τῶν κεκοι|7ᵛ|μημένων μοναχῶν, ἄλλον ὑπὲρ τῶν κεκοιμη-
μένων γονέων μου, ἕνα ὑπὲρ τοῦ περιποθήτου μου υἱοῦ τοῦ βασιλέως
καὶ τῆς περιποθήτου μου νύμφης τῆς δεσποίνης, ἕτερον ὑπὲρ τῶν
παίδων μου πάντων, καὶ ὑπὲρ ἐμοῦ γε αὐτῆς καὶ τῆς ἐμῆς μη|8|τρὸς
5 ἕτερον· καθ' ἕκαστον δὲ τῶν σαββάτων καὶ σταυρία προσκομισθήσονται
ὑπέρ τε τῶν προκεκοιμημένων γονέων μου καὶ παίδων καὶ τῶν
κοιμηθησομένων εἰς νέωτα· πᾶσαν δὲ ἄλλην ὑμνῳδίαν θείαν κατὰ
τὴν τοῦ θείου Σάβα |8ᵛ| πληροῦσθαι βούλομαι διατύπωσιν· ταύτην
γὰρ ἐγκρίνει ἡ βασιλεία μου κοινοβιακῶς ζῆν ἑλομέναις ἁρμόζουσαν,
10 μέσην τε χώραν ἐπέχουσαν καὶ βασιλικὴν ὁδὸν οἷον τυγχάνουσαν.

31. Εἰ δέ τινα ὁ ζῆλος ἐρεθίσει καὶ πλέον τούτου ποιεῖν, |13| οὐδὲν
ἐντεῦθεν τὸ ἐμποδών· πλὴν τὰ διατεταγμένα ὑπὸ τοῦ θείου τοῦδε
καθηγητοῦ ἐπάναγκες ταῖς μοναχαῖς ἡγουμένη πληροῦν θεσπίζω
ζῆν κατ' αὐτήν. Εἰ δὲ καὶ σκληρά τισιν ἡ ὁδὸς δόξειεν, ἀλλ' αὕτη,
15 μαθέτω, |13ᵛ| ἡ ἀπάγουσα εἰς τὴν ζωήν, αὕτη ἡ πρὸς τὴν διαιωνί-
ζουσαν ἀπόλαυσιν προβιβάζουσα· οὐδὲν γὰρ τὰ παθήματα τοῦ παρόν-
τος αἰῶνος πρὸς τὰ διαδεξόμενα ὡς ἐμάθομεν ἀγαθά. Εἰ δὲ καὶ
τοῦτο δεῖ προσθεῖναι, τί ἂν πάθοι τις τῶν παθημάτων |14| ἀντάξιον,
ὧν ὑπὲρ ἡμῶν ὁ δεσπότης καὶ δημιουργὸς πέπονθεν; ἐκεῖνος ὑπὲρ
20 ἡμῶν τὸ αἷμα ἐξέχεεν, ἡμεῖς τὸν τῆς σαρκὸς ὄγκον κενώσωμεν·
ἐκεῖνος θάνατον ὑπέμεινε βίαιον, ἡμεῖς τὸν προαιρετὸν μὴ ἐκφύγω-
μεν. Κακώθητι, |14ᵛ| τῶν πατέρων τις ἔφησε, καὶ ἀπόθανε, ὡς ἂν
ζωῆς τύχοις τῆς κρείττονος. Ἄλλως τε καὶ ἅπερ ὁ θεῖος οὗτος
εἰσηγεῖται πατὴρ τὴν μέσην ἔχοντα χώραν, οὔθ' οὕτως οἴομαι
25 ἐκπιέσει, ὡς κατεπεῖξαι πρὸς θάνατον πρόωρον, οὔτ' ἀνέτως |15|
πάντῃ συγχωρήσει βιοῦν, ὡς τῇδε μὲν κατασπαταλῆσαι, ἐκεῖσε δὲ
τὸ « ἀπέλαβες » ἀκοῦσαι « τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου ». Ἀλλ'
ὅπερ ἔφην καὶ αὖθις ἐρῶ, οὕτω καὶ τὰ πνευματικά, οὕτω καὶ τὰ
σωματικὰ διοιθυντέον, ὡς ὁ μέγας Σάβας διατυποῖ, Θεὸς δὲ |15ᵛ| ὑμῖν
30 ἐπὶ τούτοις εἴη συνέριθος.

32. Ἐπεὶ δὲ σύνθετόν τι ὁ ἄνθρωπος καὶ σῶμα περίκειται τροφῆς
τε χρῆζον καὶ σκέπης δεόμενον, νόμος δὲ θεῖος μὴ θανατᾶν μηδὲ

---

14. Matth. 7, 4. — 16. Rom. 8, 16. — 27. Luc. 16, 25.

20, 21. ὑμεῖς *cod.* | 22. ... ων τις *in ras.* | 31. ἐπείδε *cod.*

πρὸ ὥρας διαλύειν τὸν σύνδεσμον, δεῖν ἡγήσατο ἡ ἡμετέρα βασιλεία καὶ περὶ τῶν εἰς |16| χρείαν ἡκόντων ταῖς μοναχαῖς διαλαβεῖν, ἐδεσμάτων λέγω καὶ σκεπασμάτων καὶ ἑτέρου παντὸς περιβλήματος. Ἐν μὲν οὖν ἡμέραις, ἅς φασι λυτάς, τρίτῃ τε καὶ πέμπτῃ, σαββάτῳ καὶ κυριακῇ, δύο ἢ καὶ τρία ἐδέσματα, ὡς ἂν |16ᵛ| ἡ καθηγουμένη σὺν ταῖς προκρίτοις τῶν ἀδελφῶν διακρίνοιεν, προτιθέσθωσαν, ἃ μὲν ἐξ ἰχθύων, ἃ δὲ ἐκ τυροῦ καὶ ἐξ ὀσπρίων ἕτερα· ἐν δέ γε τῇ δευτέρᾳ δι' ὀσπρίων καὶ λαχάνων ἑψητῶν σὺν ἐλαίῳ καὶ ὀστρακοδέρμων, εἴπερ ἐν εὐπόρῳ τοῦτο τυγχάνοι καὶ ὁ |17| καιρὸς δίδωσιν· ἐν τετράσι δὲ καὶ παρασκευαῖς ἓν ἢ καὶ δύο ἐδέσματα διὰ λαχάνων τε καὶ ὀσπρίων, εἰ μὴ τῶν δεσποτικῶν παρατύχοι τις ἑορτῶν ἢ καί τινος τῶν μεγίστων ἁγίων θείων ἀποστόλων ἢ μαρτύρων περιβοήτων ἢ καὶ περιωνύμων ἱ|17ᵛ|εραρχῶν· τότε γὰρ ἴσως καὶ ἰχθυοφαγήσουσιν ἢ πάντως σὺν ἐλαίῳ τῆς τροφῆς μεταλήψονται. Ἐν δὲ ταῖς ἑορτασίμοις τῶν ἡμερῶν ἁβροτέρα εὐτρεπιζέσθω ἡ τράπεζα, ἰχθύων τε πληρούντων αὐτὴν καὶ τυρῶν καὶ γάλακτος, εἴπερ ὁ καιρὸς δί-|18| δωσι· ταῦτα δ' οὐκ ἄλλου τινὸς δηλοῖ χάριν ἡ βασιλεία μου ἀλλ' ἢ τὴν ἣν προτρέπω παράκλησιν ἐν διαφόροις τῶν ἡμερῶν καὶ μόνην τὴν τῶν ἐδεσμάτων αὔξην γνωρίζουσα· τά τε γὰρ ἄλλα καὶ τὴν ἐναλλαγὴν αὐτὴν τῆς τροφῆς, ξηροφαγίας τε |18ᵛ| ἥν φασιν, ἀγνοφαγίας, ἰχθυοφαγίας καὶ τῆς τῶν ᾠῶν καὶ τοῦ τυροῦ μεταλήψεως, κατὰ τὴν τοῦ θείου καθηγητοῦ, τὸν Ἱεροσολυμίτην φημί, περὶ οὗ δὴ καὶ εἰρήκειν, κατὰ τὴν αὐτοῦ διατύπωσιν πάντα οὐχ ὅτι γε τὰ τῆς θείας ὑμνῳδίας |19| ἀλλὰ καὶ τὰ τῆς τροφῆς καὶ τῆς πόσεως θεσπίζω στέργειν τε καὶ πληροῦν.

33. Συνθέτου δὲ ὄντος τοῦ καθ' ἡμᾶς κράματος καὶ νόσων ἐπισυμβαινουσῶν τῇ ταλαιπώρῳ σαρκί, δεῖν ἡγεῖται ἡ ἡμετέρα βασιλεία καὶ περὶ τῶν νόσοις περιπιπτουσῶν |19ᵛ| ἐκφάναι τὸ βουλητόν οὐχ ὑποπεσοῦνται αὐταὶ τῷ τυπικῷ, ἀλλ' ὡς ὁ ἰατρὸς εἰσηγήσεται καὶ ὁ πνευματικὸς ἀναφορᾶς πρὸς αὐτὸν γενομένης ἐνδώσει πατήρ, οὕτω δὴ καὶ ἑστιαθήσεται καὶ πόσει καταλλήλῳ τῷ νοσήματι χρήσεται· καὶ ἃ μὲν |20| πρόσεστι τῇ μονῇ, ἐκ τοῦ δοχείου τῆς μονῆς λήψεται, ἃ

---

1. προώρας *cod.* | 17. ἄλλού τινος *cod.* | 29. αὗται *cod.*

δ' αὖ ἐκ τοῦ ξενωνικοῦ ταμιείου, ἀφ' οὗ δῆτα καὶ ἐμπλάστρους καὶ καταδέσμους καὶ τὸ πρὸς χρείαν ἅπαν αὐτῇ· πλὴν δι' ἀσθένειαν ἀληθεύουσαν καὶ ὑγιείας ἀναγκαίας ἀνάκτησιν, οὐκ ἀσθενείας |20'| προσποίησιν καὶ περιττὴν σαρκὸς πρόθεσιν τὴν τοιαύτην βούλομαι
5 παράκλησιν γίνεσθαι. Δι' οὐδὲν γὰρ ἄλλο θέλω τι τοῦ βραχυτάτου μέχρι παραβαθῆναι τῆς τοιᾶσδε διατυπώσεως.

34. Βαλανείου προσεπιτούτοις χρῆ|21|σις ταῖς πονήρως τοῦ σώματος ἐχούσαις οὐ κωλυθήσεται, ἀλλ' ὁσάκις ἂν ὁ ἰατρὸς προτρέπων εἴη, τοσαυτάκις ἀνεθήσεται παρὰ τῆς καθηγουμένης καὶ λού-
10 σεται καὶ ὑπηρέτισι μο|21'|ναχαῖς χρήσεται, ὁπόσας ἂν ἡ χρεία τοῦ νοσήματος ἀπαιτήσειε· τετράκις δὲ ἄλλως τοῦ ἐνιαυτοῦ χρῆσθαι τῷ βαλανείῳ τὰς μοναχὰς βούλομαι, καὶ μᾶλλον εἰ τυγχάνοιεν τὴν ἡλικίαν νεάζουσαι· τὰς γὰρ γηραλέας καὶ ἐξώρους |22| παραπλησίως ταῖς νοσούσαις τῷ τῆς μονῆς καθυπείκειν ἰατρῷ ἐπὶ πάσῃ διαίτῃ τε
15 καὶ θεραπείᾳ ἡ ἡμετέρα βασιλεία διακελεύεται· ταῖς δ' εὖ ἐχούσαις τοῦ σώματος τετράκις λοῦσθαι τοῦ ἔτους, κατὰ τὴν ἀπόκρεων τῆς μεγίστης τῶν τεσσαρακοστῶν, κατὰ |22'| τὴν ἀπόκρεων τῆς τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, κατὰ τὴν πρὸ τῆς κοιμήσεως τῆς ὑπεράγνου μου θεομήτορος καὶ κατὰ τὴν πρὸ τῆς τοῦ σωτῆρος
20 ἡμῶν Χριστοῦ κατὰ σάρκα γεννήσεως.

35. Ἰατρὸς δὲ εἷς τῆς ἑβδομάδος ἅπαξ τῇ μονῇ παρα|23|βαλλέτω, πλὴν δὴ τῆς μεγίστης τῶν τεσσαρακοστῶν· τότε γὰρ καὶ αὐτῷ σὺν πᾶσιν ὁμοῦ τε καὶ πάσαις ταῖς ἔξωθεν οἱ πυλῶνες ἀσφαλῶς ἐπιζυγωθήσονται, εἰ μή τινι τῶν ἀδελφῶν νόσος ἐνσκήψειε καὶ συνεχεσ-
25 τέραν τὴν ἄ|23'|φιξιν ἀπαιτήσειε· τότε γὰρ καὶ καθ' ἡμέραν ἐπιστήσεται καὶ καθ' ἡμέραν τὴν κάμνουσαν ἐπισκέψεται καὶ ἐν αὐτῇ δῆτα τῇ τεσσαρακοστῇ τροφήν τε καὶ πόσιν τὴν πρόσφορον εἰσηγήσεται πρὸς τὸ νόσημα.

ιδ'.

30 |24| Περὶ διανομῆς ἀμφίων τῶν μοναχῶν.

36. Ἄμφια δὲ ταῖς μοναχαῖς ἃ μὲν κατ' ἐνιαυτὸν ἑκάστῃ διανεμέσθωσαν ἀποδιδούσαις τὰ ἑαυτῶν, ἃ δὲ καὶ δυοῖν παραδραμόντοιν

ἐνιαυτοῖν· καιρὸς δὲ τῆς διανομῆς καὶ τῆς ἀποδόσεως ἀπρίλλιος ἐσεῖται μὲν καὶ ὀκτώβριος, |24ᵛ| ὧν ἐν μὲν θατέρῳ τὰ πρὸς ἀμφίασιν μόνην καὶ περιβολὴν ἀναγκαῖα τοῦ σώματος, ἐν δέ γε τῷ λοιπῷ τὰ πρὸς βίαν συστῆναι χειμερινὴν καὶ πρὸς κρύος ἀντιπαλαμήσασθαι ἱκανά· καὶ τὰ μὲν κατ' ἔτος δοθησόμενα ταῦτα· χιτῶνες ἐκ ῥάκους 5 δύο λευκοὶ |25| καὶ ἐπάνω φόριον ἐξ ἐρίου καὶ αὐτὸ ὂν· βλαυτῶν συζυγίαι τρεῖς, μία μὲν εὐρυτέρα καὶ ποδῶν ἱκανὴ περικεύθειν ἀναβολάς, δύο δὲ τοὺς πόδας μόνον φυλάττουσαι· περιστήθιον δὲ φακιόλιον καὶ μανδύας μετὰ δυοῖν ὅλων χρόνων παραδρομήν· |25ᵛ| δοθήσεται μὲν οὖν τὰ μὲν τούτων κατ' ἔτος, τὰ δὲ καὶ δυοῖν παριππευσάντοιν 10 ἐνιαυτοῖν, ἀποδιδομένων εἰς τὸ δοχεῖον τῶν τετριμμένων καὶ παλαιῶν ὡς προείρηται· καὶ τοῦτο μὴ παραλιπεῖν δίκαιον, τῶν ἀναγκαι|26|οτάτων δὲ μᾶλλον καὶ τηρεῖσθαι δέον εἰς ἀπαράβατον, εἴγε τῶν ἀναγκαίων ἐνθέως πανηγυρίζειν καὶ ἱερῶς ἐμφαιδρύνεσθαι.

ιε'. 15

Περὶ τοῦ πῶς ἐκτελεῖσθαι δεῖ ἐν τῇ μονῇ τὴν ἑορτὴν τῆς γεννήσεως τῆς Θεοτόκου καὶ περὶ τῆς ἑορτῆς τῶν γενεθλίων τοῦ Προδρόμου καὶ περὶ τοῦ κηροῦ καὶ τοῦ ἐλαίου καὶ τῆς λοιπῆς ἐξόδου. 20

37. |26ᵛ| Ἑορταστέον πνευματικῶς τῶν θεηγόρων τις παρεγγυᾶται μυσταγωγῶν καὶ ὁ θεοπάτωρ Δαυίδ· « ἠγάπησα, φησίν, εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου »· ἑορταστέον τοίνυν ὑμῖν ἐνθέως ἅμα καὶ εὐπρεπῶς· καὶ δὴ πρὸ τῶν ἄλλων περὶ τῆς κατὰ τὸ γενέθλιον εἰρήσθω |27| τῆς θεομήτορος. Ἐξαιρείσθωσαν 25 τοῦ μέσου αἱ συνήθεις ἐξ ὑάλου φωταγωγοί, διαρτάσθωσαν ἀργυραῖ ὅσαι τε χυτροειδεῖς καὶ μονούμεναι καὶ ὅσαι δήπουθεν μικραῖς τε καὶ συχναῖς ἄλλαις περικυκλούμεναι, καὶ ἐλαίου πᾶσαι πληρούμεναι καθαροῦ ἐναπτέσθωσαν, κηροί τε |27ᵛ| αὐτάρκεις τῶν ἐν μετεώρῳ τοῦ

---

23. Psalm. 25, 8.

3. ἀναγκαίαν *cod.* | 6. ὅ K, ἓν *cod.* | 10. κατέτος *cod.*

βήματος εἰκόνων ἐπίπροσθεν, σταθμὸν οὐγγιῶν ἕλκων ἕκαστος ἕξ· ἐν δ' αὖ γε τοῖς κάτω φωτοφόροις ὀβελίσκοις — ὀβελισκόλυχνία τινὲς ὠνομάκασι, μανουάλια δὲ καλεῖν σύνηθες· ἄττα δὴ τῆς προκειμένης εἰς προσκύνησιν ἁγίας εἰκόνος τῆς δεσποίνης |28| καὶ θεομήτορος
5 προτεθήσονται, λαμπάδες μὲν ὁλκὴν λίτρας φέρουσαι καὶ κηροὶ περὶ αὐτὰς τεττάρων οὐγγιῶν ῥοπὴν ἔχοντες· οἱ δὲ λοιποὶ τούτων — εἴκοσι γὰρ καὶ τεττάρων ὄντων, εἴκοσιν ἐξ αὐτῶν τῷ παλαιῷ ναῷ ἀρκέσουσιν, οἱ δὲ λοιποὶ τέτταρες τῷ νέῳ περιλειφθήσονται· |28ᵛ| τούτοις οὖν λαμπάδες ἐμπαγήσονται λιτρῶν ἓξ πεποιημέναι καὶ
10 κηροὶ ἐξ ἰσαρίθμων ἱστάμενοι οὐγγιῶν· κἀν τοῖς τάφοις καὶ ὅπῃ δήπου ὀφείλουσιν ἵστασθαι, τετραούγγιοι στήσονται ξυλαλόης· εἴς τε τὸν ἑσπερινὸν ὕμνον καὶ τὴν παννύχιον τελετὴν καὶ αὐτὴν δῆτα τὴν ἱερὰν ἁγιστείαν |29| οὐγγίαι δύο ἐπιδιδόσθωσαν· αἵ τε δὴ ἔνδον τοῦ βήματος αἵ τε ἐν τοῖς μύαξί τε καὶ πτερυγίοις καὶ
15 πανταχόσε τοῦ ναοῦ φωταγωγοὶ διακαθαιρόμεναί τε καὶ ἀρτυόμεναι ἐναπτέσθωσαν.

38. Τὰ αὐτὰ δὲ καὶ κατὰ τὴν γενέθλιον ἑορτὴν τοῦ τιμίου Προδρόμου καὶ βαπτιστοῦ ἀπαρα|29ᵛ|ποιήτως ἀναλούσθωσάν τε καὶ ἐκτελείσθωσαν. Διαδιδόσθω τῷ τότε πρὸ τῶν πυλώνων τοῖς κατὰ
20 Χριστὸν ἀδελφοῖς μεδίμνων ἄρτοι τριῶν καὶ τραχέα νομισμάτων ἕξ, καὶ εἰς ὀψώνιον τὰ ἀρκοῦντα νομίσματα, ὡς ὁ καιρός τε ἂν ἀπαιτοίη καὶ |30| ἡ καθηγουμένη σὺν ταῖς ἀδελφαῖς ἐπικρίνοιεν. Τὰ αὐτὰ δὲ ἀπαραλλάκτως κἀν τῷ τοῦ θείου Προδρόμου καὶ βαπτιστοῦ γενέσθωσάν τε καὶ ἀναλούσθωσαν. Ἐν δέ γε τῇ τῆς κοιμήσεως τῆς
25 δεσποίνης μου Θεοτόκου καὶ ἐν αὐτῇ τῆς τοῦ σωτῆρος μεταμορφώσεως καὶ τῆς κατὰ σάρκα γεννήσεως καὶ τῇ λαμπρᾷ |30ᵛ| τῶν φώτων ἡμέρᾳ καὶ τῇ τῆς ἐκ νεκρῶν ἀναστάσεως, ὡς ἂν ἡ καθηγουμένη καὶ αἱ πρόκριτοι τῶν ἀδελφῶν ἐπικρίνοιεν, τὰ τῶν τελετῶν ἐκπληρούσθωσαν. Ὡς δὲ κἀν ταῖς τῶν ἁγίων μνήμαις τῶν περιβοή-
30 των ἐν ὁσίοις τῶν περιωνύμων ἐν μάρτυσιν . . . . . .
. . . . . .

---

30. *unius versus spatium relictum est et scripsit manus recens* : λείπει.

ις'.

|57| Περὶ τοῦ μὴ ψάλτας συγκαλεῖν ἐν τῇ μονῇ.

39. Ψαλτῳδοὺς δὲ τοὺς οὕτωσί πως καλλιφώνους καλουμένους ἐν οὐδεμιᾷ τῶν ἑορτῶν ἐπιχωριάζειν διακελεύομαι, ἀλλ' αὐταὶ μόναι καθ' ἑαυτὰς αἱ μοναχαὶ σὺν τοῖς ἐναποτεταγμένοις τῇ μονῇ πρεσβυ- 5 τέροις τὰ τῶν ὑμνῳδιῶν ἐκπληρούτωσαν· κατὰ δὲ |57ᵛ| τὴν τῆς γεννήσεως ἑορτὴν τῆς ὑπεράγνου μου δεσποίνης καὶ θεομήτορος, ὅτε δὴ καὶ ἐπιδημεῖν ὁ βασιλεὺς μέλλει, οἱ ἐναποκεκληρωμένοι καλλίφωνοι ἀκωλύτως προεισελεύσονται καὶ ἐξιόντος τοῦ βασιλέως μηδὲν μηδ' ὁπωσοῦν βραδύναντες ἐξελεύσονται· νυχθημερινὰ δὲ φῶτα τοῖν 10 θείοιν τάδε ναοῖν ἐναπτέ|58|σθωσαν· ἐν μὲν τῷ τῆς ὑπεράγνου μου Θεοτόκου ἔνδον μὲν τοῦ ἀδύτου φωταγωγὸς διηνεκῶς φαίνουσα καὶ λαμπὰς ἐκτὸς οὕτωσί πως συνήθως καλουμένη ἀκοίμητος· ἐν δὲ τῷ τοῦ τιμίου μου Προδρόμου καὶ βαπτιστοῦ ἐν μὲν τῷ ἀδύτῳ φωταγωγός, ἐν δὲ τῷ ναῷ λαμπάδες πέντε παραπλησίως φαίνουσαι, |58ᵛ| 15 ἡ μὲν τῆς εἰκόνος τοῦ βαπτιστοῦ ἔμπροσθεν, ἡ δ' ἐπιτάφιος ἐμοῦ τε καὶ τῶν ἐμῶν παίδων, ὅσων ὁ τάφος ἐνθάδε περικεκλείσεται. Κατὰ δὲ τὸν ὁσημέραι τῆς ὀρθρινῆς τε καὶ ἑσπερινῆς δοξολογίας καιρὸν καὶ ἐν αὐτῇ τῇ θείᾳ ἱεροτελεστίᾳ φωταγωγοὶ λαμπάδες τε καὶ κηροί, ὁπόσους ἂν ἐπικρίνειν ἡ καθηγουμένη σὺν ταῖς προκρίτοις ἔχοι τῶν 20 ἀδελφῶν· |59| ἀνάλογοι γὰρ πρὸς τὴν ἡμέραν ἀφθήσονται.

ιζ'.

Περὶ τοῦ πῶς μέλλει διάγειν ἐν τῇ μονῇ εἴπερ τις τῶν θυγατέρων ἢ τῶν ἐγγόνων ἢ τῶν ἄλλως προσηκουσῶν τῇ δεσποίνῃ ἀποκαρῇ. 25

40. Ἐπεὶ δὲ τῶν ἐφετῶν παντὶ δήπου τυγχάνει τῶν εὐσεβῶν ἡ τοῦ κόσμου καὶ τῶν κοσμικῶν πραγμάτων ἀποταγή, ἀρραβών τις

---

20. ἐπικρίνοιεν *cod.*

οὖσα τῆς |59ᵛ| μελλούσης ἀπαθείας καὶ τῆς δι' αὐτῆς καὶ ἐξ αὐτῆς ἀπολαύσεως, καὶ πάντες τε καὶ πᾶσαι δι' εὐχῆς αὐτοῦ τυχεῖν τίθενται καὶ ὡς ἐκ ζάλης τοῦ βίου πρὸς λιμένα φθάσαι σωτήριον κατεπείγονται, εἰσὶ δὲ κάμοὶ χάριτι τοῦ οἰκτίρμονος καὶ αὐταγάθου Θεοῦ θυγατέρες καὶ ἐγγόναι, καὶ περὶ τούτων ἐρεῖν εἰ ἐν καιρῷ ποτε προσέλθοιεν |60| τῇ μονῇ βούλομαι. Εἰ μὲν τῶν ἐμῶν τις θυγατέρων, δύο δὲ αὗται τῷ βίῳ περιειλείφθησαν, εἰ οὖν ἐξ αὐτῶν τις εἰς γῆρας ἐληλακυῖα ἢ καὶ ἄλλως τῷ ὁμευνέτῃ κρεῖττόν τι συμφρονήσασα τὴν μοναδικὴν ἕλοιτο, τεττάρων ἀδελφῶν χρειώδη χορηγεῖσθαι ταύτῃ διακελεύομαι· καὶ εἰ μέν τινας |60ᵛ| τῶν τῆς μονῆς εἰς ὑπηρεσίαν προσδέξοιτο, ἰδιάζειν δὲ ἄλλως βούλοιτο, ἀποτετάχθων τρεῖς |61ᵛ| ἐς αὐτὴν ἃς ἂν ἡ προεστῶσα σὺν ταῖς προκρίτοις τῶν μοναχῶν ἀπολέξοιτο· εἰ δέ πως ἴδιαι συναποκαρῶσιν αὐτῇ, τὰ ἀνήκοντα καὶ πάλιν ταύταις ἐπιδοθήσεται· αὐτὴ δὲ εἰ μὲν καθυπείκειν |31| αἱρεθείη τῷ τυπικῷ καὶ τῇ κοινῇ τραπέζῃ συνάγεσθαι, τῷ Θεῷ χάρις· τοῦτο γὰρ ὄντως τέλειον, τοῦτο Θεῷ φίλον, τὸ παντάπασιν ὑποταγῆναι καὶ πρὸς ἀλήθειαν τὸν κοσμικὸν ἀποστραφῆναι τύφον καὶ τὴν ὑψοποιὸν ἑλέσθαι ταπείνωσιν, διηνεκῶς εἰς νοῦν περιστρέφουσαν τὸ « ἐταπεινώθην, καὶ ἔσωσέ με ὁ κύριος ».

41. Εἰ δ' |31ᵛ| ἀσθενείας προσισταμένης καθ' ἑαυτὴν ζῆν ἐθελήσειε τῇ ἐκκλησίᾳ μόνον συναγομένη, εἰ μὲν ἔχει τὰς ἰδίας, τὰ αὐτὰ καὶ πάλιν αὐταῖς ἐπιχορηγηθήσεται· εἰ δ' οὖν, αὐτή τε καὶ μία ἣν ἂν αὐτὴ βούλοιτο τὴν συνδιαγωγὴν ἕξουσι, δύο τε ἄλλαι, εἰ χρείαν αὐτῶν ἔχειν ἐρεῖ, τετάξονται καθυπηρε|32|τεῖν καὶ τὸ πρὸς χρείαν ἅπαν οἰκονομεῖν· εἰ δὲ τῶν ἐγγόνων δύο ταύτῃ συνέσονται ἢ καὶ ἄμφω ἴδιαι ἢ καὶ ἄμφω ἐκ τῆς μονῆς ἢ μία μὲν ἰδία ἑτέρα δ' ἐκ τῆς μονῆς, αἷς κἂν ὅπως ἄρα καὶ συναποταχθεῖεν αὐτῇ, τὰ ἀνήκοντα τῶν ἀδελφῶν ἑκάστη καθ' ἑκάστην χορηγηθήσεται· τῶν δὲ προσηκουσῶν |32ᵛ| τις καθ' αἷμα τῇ βασιλείᾳ μου ἢ καὶ τῶν ἄλλως περιφανῶν εἰ προσελεύσεται γυναικῶν, μίαν ἕξει ἢ ἰδίαν καὶ αὐτὴ ἢ τῶν τινα τῆς μονῆς, λήψεται δὲ καὶ αὕτη καθ' ἡμέραν, εἰ μὴ τῇ τραπέζῃ συνάγεσθαι βούλοιτο, αὐτάρκη δυοῖν ἀδελφαῖν ἐπιτήδεια.

---

18. Psalm. 114, 6.

5. ἔγγοναι *cod.* | 26. *corr. rec.* ἀτέρα. | 30. αὕτη *cod.*

ιη'.

Περὶ τοῦ πῶς τε καὶ ποῦ δεῖ θάπτεσθαι παῖδας τῆς |33| δεσποίνης ἢ ἐγγόνους.

42. Ὥρα δὴ μνησθῆναι καὶ τελευτῆς, ἐπείπερ οὐδείς ἐστιν ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον· καὶ γοῦν περὶ ἐμοῦ πρώτης, ὅπῃ τέ μου καὶ ὅπως τὸν νεκρὸν κατατεθῆναί μοι βουλητόν, τοῖς ἐξ ἐμοῦ καὶ μετ' ἐμὲ δῆλον ἀπάρτι ποιήσομαι· ἐν δεξιᾷ μὲν εἰσιόντι |33ᵛ| τὸν τοῦ Προδρόμου νεὼν ὁ νεκρὸς τῆς ἐμῆς προκατατεθείς ἐστι θυγατρός, μετὰ δὲ τὴν μεταξὺ πύλην ὁ ἐμὸς καὶ τῆς ἐμῆς τιμίας μητρὸς ἐγερθήσεται· οὐδὲ γὰρ ἀνέχομαι διαστῆναι ταύτης καὶ μετὰ θάνατον· μετὰ δέ γε τῶν ἐμῶν τε παίδων ὅστις ἂν |43| ἐπιτάξειε περιὼν ἐνθάδε καταπεσεῖν, καὶ τῶν ἐπὶ θυγατράσι γαμβρῶν, προσηκόντως κατατεθήσεται. Ὡς δὲ υἱωνοί τε καὶ ἐγγόναι, νύμφαι τε καὶ ἐπ' ἐγγόναις γαμβροί· ὧν ὑπὲρ πάντων ἐτησίως μνημόσυνα τελεσθήσεται. Τὸ δ' αὖ ἀντικρὺ καὶ ἐξ εὐω|43ᵛ|νύμων τῷ πρὸς τὸν παλαιὸν ἐντεῦθεν ἀπιόντι τῆς Θεοτόκου σηκὸν παρεθήσεται ἅπαν καί, ὅπερ ἄν μου τῷ υἱεῖ καὶ βασιλεῖ δόξειεν, ἐπὶ τούτῳ γενήσεται.

ιθ'.

Ἀπαρίθμησις τῶν κτημάτων.

43. |44| Λοιπὸν τοίνυν ἡμῖν καὶ περὶ τῶν ἀνατιθεμένων κτημάτων ἐρεῖν, ἃ καὶ ἀνεκποίητα διατηρεῖσθαι ταύτῃ θεσπίζω καὶ εὔχομαι, κἂν οἵαπερ ἂν περιστάσει ἐγκύρσειεν ἡ μονή· κἂν γὰρ — ὅπερ ἀπεύχομαι — στενωθείη τὰ τῶν εἰσόδων αὐτῇ ἢ ἐξ ἀφορίας |44ᵛ| καιρῶν ἢ καὶ βαρβάρων ἐπιδρομῆς, οὐκ ἐκθήσονταί τι τῶν κτημάτων, ἐκδοῦσαι δέ τι τῶν κειμηλίων τὸν καιρὸν ὅ φασιν ἐξωνήσονται, ὀφείλουσαι τοῦτο μετὰ χρόνων αὖθις περίοδον ἀγαθῶν, εἰ μὴ κρεῖττον ἀλλὰ ταὐτὸν πάντῃ περιποιήσασθαι.

---

5. Psalm. 88, 49. — 25. Cf. Ephes. 5, 16.

13. ἔγγοναι νύμφαί τε *cod.*

44. <Τ>ὰ δὲ κτήματα, ἃ μὲν ἡ βασιλεία μου ἀνατίθησι, ταῦτα. Ἀπὸ τῶν διὰ χρυ|45|σοβούλλου δοθέντων μοι κτημάτων παρὰ τοῦ περιποθήτου μου υἱοῦ τοῦ εὐσεβεστάτου βασιλέως τὸ περὶ τὸ θέμα Περγάμου διακείμενον κτῆμα τὸ ἐπονομαζόμενον Καστέλλου εἰς χρυσίνους ποσούμενον πεντήκοντα πρὸς τοῖς τριακοσίοις· καὶ ἀπὸ τοῦ Ἀχιλλείου καὶ τοῦ Βαρέος τῶν λόγῳ κληρονομίας εἴς τε |45ᵛ| τὴν ἁγίαν μου μητέρα καὶ ἐμὲ περιελθόντων ἐκ προγόνων κτημάτων ἀπόμοιραν νομισμάτων τριακοσίων· ὧν τῇ ποσότητι καὶ τὸ ἐκεῖσε συναριθμεῖται βιβάριον· ἐπέκεινα δὲ τούτων καὶ μύλωνα τὸν ἐπιλεγόμενον τῆς Θερμηνῆς ἀπὸ τῶν δικαίων ὄντα τῶν αὐτῶν γο|46|νικῶν κτημάτων· πρὸς δὲ καὶ τὸ ἀμπέλιον τοῦ Ἐμπορισνοῦ ἐξ ἀγορασίας ἡμῖν περιελθὸν καὶ συναφθὲν τοῖς δικαίοις τῶν ἡμετέρων γονικῶν κτημάτων· περί που τὰ αὐτὰ κτήματα ζευγηλατεῖον ἐπιλεγόμενον τὴν Κυθρίναν μετὰ τῶν |46ᵛ| δικαίων αὐτοῦ, τοῦτ' ἔστιν ἀμπελίου μοδίων τριακονταδύο, περιβολίου μοδίων εἴκοσι, κηπωρείου μοδίων δέκα, γῆς μοδίων τριακοσίων ἐννενήκοντα καὶ μύλωνος δυοφθάλμου ὁλοκαιρινοῦ περὶ τὴν Ἄναιαν, τὰ μὲν ἐξ ἀγορᾶς τάδ' ἀπὸ βελτιώσεως καὶ συστάσεως ἀμπέλια μοδίων |47| ἑκατὸν τεσσαρακονταπέντε, κηπωρεῖα μοδίων ἑκατὸν πεντήκοντα, γῆν μοδίων τριακοσίων πεντήκοντα καὶ οἰκήματα οὕτωσί πως ἐγχωρίως ὀνομαζόμενα ἐνοικικὰ δεκατέσσαρα.

45. Περὶ τὸν Κορδολέοντα ἐν τῷ κατεπανικίῳ τῆς Σμύρνης γῆν μοδίων πεντακοσίων ἐξωνηθεῖσαν |47ᵛ| ἀπὸ τοῦ Ἀβαλάντου· περὶ τὸ Φιλοπάτιον πλησίον τῆς Κωνσταντινουπόλεως γῆν μοδίων δισχιλίων· πρὸς τούτοις καὶ τὰ ἐντὸς τῆς Κωνσταντινουπόλεως ἐξ ὠνήσεως ἐπικτηθέντα μοι οἰκήματα, τὰ τοῦ Βατραχωνίτου δηλαδὴ περὶ τὴν τοποθεσίαν τῶν Κυνηγῶν σὺν τοῖς τοῦ Γαβρᾶ, τὸ πλησίον |48| τῆς πύλης τῶν Κυνηγῶν ἐργαστήριον, τὸ τοῦ Χαβάρωνος πλησίον τῶν Βλαχερνῶν, τὰ εἰς τὰ Τζοχαρεῖα τῆς βασιλικῆς πύλης ἐξωνηθέντα ἀπὸ πισσαίου Συρίου Μαφρὲ ἐπικαλουμένου, τὰ τοῦ Εὐλογίου Ἰωάννου ὄπισθεν ὄντα τοῦ λατινικοῦ ναοῦ τοῦ εἰς ὄνομα τῆς ὑπεραγίας Μαρίας |48ᵛ| τιμωμένου, πλησίον δὲ αὐτῶν καὶ τὰ τοῦ ἄρχοντος

---

1. ὰ δε *cod.* | 14. τουτέστιν *cod.* | 22. κατεπανοικίω *cod.* | 24. δυσχιλίων *in ras.*

τῆς θυμέλης καὶ τὰ τούτων σύνεγγυς τοῦ Σαμψών, ἰδίᾳ δὲ καὶ τούτων ἐπέκεινα καὶ τὸ εἰς τὴν Ὡραίαν πύλην ὠρεῖον.

46. Καὶ ταῦτα μὲν πάντα ἰδίᾳ ἐν τῇ μονῇ· ἃ δὲ καὶ χάριν θεραπείας καὶ κυβερνήσεως τῶν ἐν τῷ ῥηθέντι ξενῶνι ἀσθενῶν, ταῦτα. |42| Ἀπὸ τῶν δοθέντων μοι διὰ χρυσοβούλλου κτημάτων παρὰ τοῦ περιποθήτου μου υἱοῦ τοῦ βασιλέως μερίδα νομισμάτων ἑξακοσίων, ἤγουν περὶ τὴν Κωνσταντινούπολιν χωρίον τὸ ἐπιλεγόμενον αἱ Νύμφαι, οὗ τὸ διὰ παροίκων καὶ διὰ γῆς νομίσματα διακόσια ἑξήκοντα, μύλωνες δύο περὶ τὴν |42ᵛ| Ἀφάμειαν εἰς νομίσματα τριάκοντα δύο, ἤτοι ὁμοῦ τὰ τῶν Νυμφῶν καὶ τὰ τῶν μυλώνων τῆς Ἀφαμείας νομίσματα διακόσια ἐννενηκονταδύο, ἕτερον χωρίον τὸ Σκοτεινὸν περὶ τὴν Μακεδονίαν διακείμενον, οὗ τὸ διὰ παροίκων νομίσματα ἑκατὸν τριάκοντα καὶ ὀκτώ, τὰ διὰ μυλώνων τεσσάρων |34| νομίσματα ἑβδομήκοντα καὶ διὰ γῆς μοδίων δισχιλίων ἑξακοσίων νομίσματα ἑκατόν, ὁμοῦ καὶ τὰ τοῦ Σκοτεινοῦ νομίσματα τριακόσια καὶ ὀκτώ.

47. Πρὸς τούτοις καὶ τὰ εἰς τὸ Λοπάδιον κτήματα τοῦ Λαχανᾶ ἤτοι ἀμπέλιον μοδίων τριάκοντα, γῆν μοδίων ὀκτακοσίων ἑξήκοντα, μύλωνα |34ᵛ| χειμερινὸν καὶ ἑτέρου μύλωνος μερίδα ἡμίσειαν καὶ τὰ οἰκήματα ἐκείνου· καὶ ταῦτα μὲν τὰ κτήματα τῇ ῥηθείσῃ μονῇ τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος καὶ τῷ παρ' αὐτῇ ξενῶνι ἀφιέρωσεν ἡ βασιλεία μου, ἃ καὶ ὀφείλουσιν εἶναι ἀναφαίρετά τε καὶ ἀναπόσπαστα, ὡς καὶ διὰ |35| χρυσοβούλλου αὐτοῦ ὁ περιπόθητός μου υἱὸς ὁ εὐσεβέστατος βασιλεὺς ἐστήριξέ τε καὶ ἐβεβαίωσεν.

48. Ἃ δὲ ἡ τιμία μου μήτηρ προσαφιέρωσε, ταῦτα. Περὶ τὴν Κωνσταντινούπολιν εἰς τὸ χωρίον τὰ Ἐννακόσια διὰ παροίκων χρυσίνους ἐννενηκονταπέντε, τὰ τοῦ χωρίου τοῦ Πλάκου ὁμοίως διὰ παροίκων |35ᵛ| νομίσματα ἑξηκονταέξ, καὶ τὰ τοῦ Καλοῦ Νεροῦ νομίσματα πεντήκοντα καὶ ὀκτώ, καὶ δι' ἐξαλειμματικῆς γῆς τῶν τοιούτων τριῶν χωρίων μοδίων οὔσης πεντακοσίων νομίσματα δεκαοκτώ, ἑτέραν ἐξαλειμματικὴν γῆν περὶ τὸ ῥηθὲν χωρίον τὰ

---

24. ἐστεριξε? *cod.* | 26. μοι *cod.*

Ἐννακόσια κάτωθεν τῆς πλακωτῆς |36| ὁδοῦ μοδίων χιλίων τετρακοσίων εἰς νομίσματα τεσσαρακονταδύο, εἰς τὸ αὐτὸ χωρίον τὰ Ἐννακόσια μύλωνα εἰς νομίσματα ὀκτώ, τὴν ἐκεῖσε σκάλαν εἰς νομίσματα δέκα, περὶ τὸ Μαρτινάκιον γῆν μοδίων ἑπτακοσίων εἰς
5 νομίσματα εἴκοσι καὶ ὀκτώ, ὁμοῦ |36ᵛ| τὰ τῶν εἰρημένων τριῶν χωρίων σὺν πάσῃ τῇ διαληφθείσῃ γῇ νομίσματα τριακόσια τεσσαράκοντα καὶ τέσσαρα· ἐν τῇ τοποθεσίᾳ τῆς ἁγίας Ἄννης γῆν μοδίων τρισχιλίων, περὶ τὸν Ἐμπυρίτην εἰς τὰ Παλατίτζα γῆν μοδίων διακοσίων, περὶ τὸ Καμηλογέφυρον μύ|37|λωνας δύο, περὶ τὸ θέμα Σηλυβρίας εἰς
10 τὸ χωρίον τοῦ Ἀποδρουγγαρίου ἑτέρους μύλωνας δύο.

49. Ἐντὸς τῆς Κωνσταντινουπόλεως τὰ παρ' αὐτῆς τῆς μονῆς δεσποζόμενα, ἀμπέλιον μοδίων ἑκατὸν εἴκοσι καὶ πέντε, κηπωρεῖα ἐν διαφόροις τόποις μοδίων τεσσαράκοντα, |37ᵛ| ἕτερον κηπωρεῖον εἰς τοῦ Βλάγγα μοδίων δεκαπέντε, ἕτερον τὸ ἐπιλεγόμενον τοῦ Ντζεφρὲ
15 μοδίων τεσσαράκοντα, περὶ τὸν Γαλατᾶν ἀμπέλιον μοδίων ἑκατὸν δώδεκα καὶ κηπωρεῖον μοδίων τριῶν, ὁμοῦ ἀμπέλιον μοδίων διακοσίων τριάκοντα καὶ ἑπτά, καὶ κη|38|πωρεῖα μοδίων ἐννενήκοντα καὶ ὀκτώ, μύλωνας ἓξ ἐκ νέου ἀνεγερθέντας περί που τὴν σεβασμίαν μονὴν τοῦ Παντεπόπτου καὶ ἐκτὸς περὶ τὸ τεῖχος τοῦ Φαναρίου,
20 ὀσπήτια περὶ τὰ Τζοχαρεῖα ἐξ ἀγορασίας περιελθόντα καὶ ἐπικτηθέντα αὐτῇ ἀπὸ τοῦ |38ᵛ| Νικολέζου, ἕτερα ὀσπήτια δύο περὶ τὴν Ὡραίαν πόρταν ὁμοίως ἐξ ἀγορασίας καὶ ταῦτα περιελθόντα αὐτῇ ἀπὸ τῆς Χρηστίνης, ἕτερα ὀσπήτια δέκα περὶ τὴν τοποθεσίαν τῶν Βλαχερνῶν, ὡσαύτως ἕτερον ὀσπήτιον ἀνώγεων πλησίον τῶν ἐν
25 Βλαχέρναις |39| παλατίων περὶ τὰ Νικητιάτου, τὸ ἥμισυ τοῦ ἀγροῦ τοῦ Διαβατηνοῦ ἔχον δένδρα ἐλαϊκὰ ἑκατὸν δώδεκα, ὡσαύτως καὶ τὸ ἥμισυ τοῦ ἀγροῦ τοῦ Μαγίστρου ἔχον ὁμοίως ἐλαϊκὰ δένδρα διακόσια δέκα ἃ μέχρι τοῦ παρόντος παρὰ τῆς αὐτῆς |39ᵛ| σεβασμίας μονῆς τυγχάνουσι δεσποζόμενα, ἕτερα ἐλαϊκὰ δένδρα περὶ τὴν Νικομήδειαν
30 τὰ καὶ δι' ἀπογραφικῆς παραδόσεως τοῦ πανσεβάστου κριτοῦ τοῦ θεοφρουρήτου φοσσάτου τοῦ Χειλᾶ προσόντα τῇ αὐτῇ μονῇ καὶ μονύδριον περὶ τὸ Σκουτάριον τὸ ἐπ' ὀνόματι τιμώμενον |40| τοῦ ἁγίου μου

---

14. τουντζεφρὲ *cod.*

μεγαλομάρτυρος Γεωργίου καὶ ἐπιλεγόμενον Τράπεζα τὸ ἀπὸ προσενέξεως τῆς μοναχῆς Τζακαλίνης τῇ αὐτῇ σεβασμίᾳ μονῇ προσκυρωθέν.

κ'.

Περὶ τοῦ ξενῶνος καὶ τοῦ ἐν αὐτῷ ἱερέως καὶ τῶν λοιπῶν.

50. |40ᵛ| Ἐπεὶ δ' ἔφθην εἰρηκυῖα τὸν ἐχόμενα τῆς μονῆς νεουργηθέντα μοι ξενῶνα ἀδιαίρετον εἶναι τῆς μονῆς, δέον γνωρίσαι καὶ ἃ διατηρεῖσθαι καθάπαξ ἐν αὐτῷ βούλομαι. Τὰ μὲν γὰρ κτήματα κοινά τε τῇ μονῇ καὶ τῷ συνημμένῳ ταύτῃ ξενῶνι προσεκυρώσαμεν ὀφειλούσης τῆς |41| προϊσταμένης τῆς μονῆς καὶ τοῦ οἰκονόμου τῶν τῆς μονῆς οὐχ ἧττον προνοεῖσθαι τῶν ἐν τῷ ξενῶνι νοσουσῶν ἢ τῶν ἐν τῇ μονῇ διατριβουσῶν. Βούλομαι καὶ διακελεύομαι κλίνας μὲν ἐναποτετάχθαι δυόδεκα καὶ τῶν ὑπουργῶν εἵνεκα τρεῖς· χρόνῳ δὲ μετὰ χρόνον τὰς ἐπὶ τοῖσδε στρω|41ᵛ|μνὰς καὶ τὰ ἐφαπλώματα δίδοσθαι, ὡς δὲ καὶ τζόλια δύο καὶ κάπαν μίαν, γυναῖκας δὲ ἐκ διαδοχῆς ἰσαρίθμους προσιούσας προσίεσθαι, αἷς κατ' ἔτος τάδε χορηγηθήσεται· σίτου θαλάσσιοι τριάκοντα μέδιμνοι καὶ ὑπὲρ οἴνου χρύσινοι ἑβδομήκοντα, προσοψήματος |49| χάριν ἑξήκοντα, ὑπὲρ ξύλου ὀκτωκαίδεκα, ὑπὲρ ἐλαίου τέσσαρες, ὑπὲρ ἅλατος καὶ λινελαίου ἕξ, τρεῖς εἰς ἐξώνησιν κριθῆς ἤτοι ὑπὲρ τ. . . . . πτίσης χιλοῦ.

